3 1761 08825114 5

Presented to

The Library

of the

University of Toronto

by

Professor Jowett, M.D.
through the Comm. formed in The
Old Country to aid in replacing
the loss caused by The Disastrous
Fire of February the 14th, 1890.

Digitized by the Internet Archive
in 2011 with funding from
University of Toronto

https://archive.org/details/platonisetguevel01plat

Inv. et Sculps. R. Cooper.

ΠΛΑΤΩΝ.

L Gr
P718Be

PLATONIS

ET QUÆ

VEL PLATONIS ESSE FERUNTUR

VEL PLATONICA SOLENT COMITARI

SCRIPTA GRÆCE OMNIA

AD CODICES MANUSCRIPTOS

RECENSUIT

VARIASQUE INDE LECTIONES

DILIGENTER ENOTAVIT

IMMANUEL BEKKER.

ANNOTATIONIBUS INTEGRIS

STEPHANI, HEINDORFII, HEUSDII, WYTTENBACHII, LINDAVII, BOECKHIIQUE

ADJICIUNTUR MODO NON INTEGRÆ

SERRANI, CORNARII, THOMPSONI, FISCHERI, GOTTLEBERI, ASTII, BUTMANNI, ET STALBAUMI,

NECNON EX COMMENTARIIS ALIORUM

CURIOSE EXCERPTA.

VOL. I.

LONDINI :

EXCUDEBAT A. J. VALPY, A. M.

SUMPTIBUS RICARDI PRIESTLEY.

MDCCCXXVI.

8020
18/11/90
Vols I ~~to XI~~
11 Vols

LECTORI.

In hac Editione quid præstitutum fuerit paucis, Lector, accipe. Commoditatibus legentium unice consulitur. Igitur Textus, quod aiunt, et Annotationes ita comparantur, ut nihil fere, quod ad Platonica quivis intelligenda desideret, deesse videatur. Etenim Platonis ipsius verba recensio, quam Immanuel Bekker ope Codicum Manuscriptorum numero circiter octoginta fecit, hic repetita exhibet, emendatis subinde paucis iisdemque levioribus maculis, quas Editoris modo non oculatissimi incuria prætermisit. Deinde Commentarii, partim integri partim compendiose facti adjiciuntur, quibus et æris et temporis dispendium, utcunque immensum postulantibus, carere tamen studiosus ægre tulerit. Verum ne cui mole Annotationum onerari potius quam ornari Platonica viderentur, lege severa cautum fuit: ideoque e præ-

stantioribus duntaxat Commentarii repetuntur integri; e reliquis vero seliguntur ea, quæ Platonica quodammodo decere, neque scriptores ipsos dedecere potuerint. In hac tamen parte non minimum fuisse laborem exantlandum quivis tuto colligere potest, catalogo librorum perlecto, unde sunt Annotationes decerptæ:

SERRAN. } ΠΛΑΤΩΝΟΣ ΑΠΑΝΤΑ ΤΑ ΣΩΖΟΜΕΝΑ. Pla-
STEPH. } tonis Opera quæ exstant omnia. Ex nova Joannis Serrani Interpretatione, perpetuis ejusdem notis illustrata. Henr. Stephani de quorundam locorum interpretatione judicium, et multorum contextus Græci emendatio. 1578, fol.

CORNAR.—Jani Cornarii Eclogæ in Dialogos Platonis omnes, nunc primum separatim editæ, cura Joh. Frider. Fischeri. Lips. 1771, 8vo.

THOMPSON.—ΠΑΡΜΕΝΙΔΗΣ, Η ΠΕΡΙ ΙΔΕΩΝ. Parmenides, sive de Ideis et Uno Rerum Principio. Platonis Dialogus. Oxon. 1728, 8vo.

FORSTER.—Platonis Dialogi quinque, Erastæ, Euthyphro, Apologia Socratis, Crito, Phædo. Oxon. 1745, 1752, 1765, 8vo.

ETWALL.—Platonis Dialogi III. quibus præfiguntur Olympiodori Vita Platonis et Albini in Dialogos Platonis Introductio. Oxon. 1771, 8vo.

FISCHER.—1. Platonis Euthyphro, Apologia Socratis, Crito, Phædo. Græce. Lips. 1758, 1779, 1783, 8vo.

2. ——— Cratylus et Theætetus. Lips. 1779.
3. ——— Sophista, Politicus, Parmenides. Lips. 1779.
4. ——— Philebus et Symposium. Lips. 1779.
5. Æschinis Socratici Dialogi tres. Græce. Lips. 1786.

GOTTLEBER.—1. Animadversiones ad Platonis Phædonem et Alcibiadem Secundum. Lips. 1771, 8vo.
2. Platonis Menexenus. Lips. 1782, 8vo.

MUELLER.—Platonis Ion. Hamburg. 1782, 12mo.

ROUTH.—Platonis Euthydemus et Gorgias. Oxon. 1784, 8vo.

BIPONT.—Platonis Philosophi, quæ exstant. Biponti, 1787, 8vo.

BIESTER. } Platonis Dialogi IV. Meno, Crito, Alcibiades uter-
GEDIKE. } que. Berolini, 1790, 8vo.

RAABE.—Specimen interpretandi Platonis Dialogi, qui Crito Inscribitur. Lips. 1791, 4to.

NURNBERGER.—Platonis Alcibiades Primus et Secundus. Lips. 1796, 8vo.

FINDEISEN.—Platonis Gorgias. Goth. 1796, 8vo.

HEINDORF.—1. Platonis Lysis, Charmides, Hippias Major, Phædrus. Berolini, 1802, 8vo.
2. ——— Gorgias et Theætetus. 1805.
3. ——— Gorgias, Apologia Socratis, Hippias Major, Charmides. Berolini, 1805, 8vo.
4. ——— Cratylus, Parmenides, et Euthydemus. 1806.
5. ——— Phædo, Sophista, et Protagoras. 1810.

HEUSDE.—Specimen Criticum in Platonem. Lugd. Bat. 1803, 8vo.

BOECKH.—1. In Platonis, qui vulgo fertur, Minoem; ejusdemque Libros priores de Legibus. Halis Saxonum, 1806, 8vo.
2. Simonis Socratici Dialogi. Heidelb. 1810, 8vo.

WYTTENBACH.—Platonis Phædon. Lugd. Bat. 1810, 8vo.

AST.—1. Platonis Symposium et Alcibiades I. Landishut. 1809, 8vo.
2. ——— Phædrus. Adjiciuntur Hermiæ Scholia nunc primum edita. Lips. 1810, 8vo.
3. ——— Politia. Accedunt Additamenta ad Commentarium in Phædrum. Lips. 1814, 8vo.
4. ——— Leges et Epinomis. Lips. 1814, 8vo.

Faehse.—Sylloge Lectionum Græcarum. Lips. 1813, 8vo.

Lindau.—Novum in Platonis Timæum et Critiam Conjecturarum atque Emendationum Specimen. Vratislaviæ ad Viadrum, 1815, 8vo.

Beck.—Platonis Opera. Lips. 1816, 12mo.

Stutzmann.—Plato de Philosophia, vel Dialogus, qui inscribitur ΕΡΑΣΤΑΙ. Erlang. 1818, 8vo.

Stalbaum.—1. Platonis Philebus. Accesserunt Olympiodori Scholia nunc primum edita. Lips. 1820, 8vo.

2. ——— Euthyphro. Lips. 1823, 12mo.

Lange.—Specimen Criticum in Platonis Critonem. Lips. 1821, 8vo.

Butmann.—Platonis Dialogi IV. Meno, Crito, Alcibiades uterque. Berolin. 1822, 8vo.

Nitzch.—Platonis Dialogus Ion. Lips. 1822, 8vo.

Dindorf.—Platonis Convivium. Lips. 1823, 8vo.

Groen-van-Prinsterer.—Prosopographia Platonica. Lugd. Bat. 1823, 8vo.

Loers.—Platonis Menexenus. Colon. ad Rhen. 1824, 12mo.

Loewe.—Platonis Crito, Græce, cum commentario perpetuo et pleno, in usum Juventutis Scholasticæ. Lips. 1825.

Harum Editionum Annotationumque merita singulatim expendere neque temporis est hujus neque loci. Unum id dicere sufficit, quod e messe tam larga Commentariorum ne levissimum quidem spicilegium Editoribus relinquitur futuris, nisi quibus volupe fuerit, Herculei sane laboris opus, materiam corradere, ad Glossarium Platonicum conficiendum; quibus profecto subsidium haud exiguum daturi

sunt Indices, tam Vocabulorum quam Dictionum, quos Forster, Etwall, Fischer, Findeisen, Butmann, Heindorf et Stalbaum struxerunt: quo quidem ornamento hæc Editio minime fuisset expers, si quis repertus esset ad munus illud obeundum par. Verum enimvero ætas Διδύμων τῶν χαλκεντέρων jamjam præterlapsa est, heu! non reditura.

Præfatiunculam prius claudere nefas est, quam lector fuerit enixe rogatus, æquo animo tam commissa quam omissa ferre, si forte offenderit vel in voces aut nullo aut prave picto accentus signo notatas, vel in nomen Fischeri loco Forsteri aut versa vice suffectum, vel in alia cujuscunque generis peccata, quæ diligens lectio perspecta corriget, vel indiligens haud perspecta parum est curatura.

DIALOGORUM PLATONICORUM

ORDO ALPHABETICUS.

(SPURII NOTANTUR ASTERISCO.—N. B. PAGINÆ EDITIONUM STEPHANI ET BEKKERI MARGINE NOSTRÆ EDITIONIS NOTANTUR.)

	Ed. Bekker. Pars.	Vol.	Pag.	Ed. Steph. Vol.	Pag.
*Alcibiades primus	II.	iii.	297	ii.	103
*Alcibiades secundus	I.	ii.	269	ii.	138
*Amatores	II.	iii.	281	i.	132
Apologia	I.	ii.	87	i.	17
*Axiochus	III.	iii.	507	iii.	364
Charmides	I.	i.	301	ii.	153
*Clitophon	II.	iii.	463	iii.	406
Convivium	II.	ii.	367	iii.	172
Cratylus	II.	ii.	1	i.	383
Critias	III.	ii.	143	iii.	106
Crito	I.	ii.	141	i.	43
*Definitiones	III.	iii.	565	iii.	411
*Demodocus	III.	iii.	528	iii.	380
*Epinomis	III.	iii.	337	ii.	973
*Epistolæ	III.	iii.	393	iii.	309
*Eryxias	III.	iii.	545	iii.	392
Euthydemus	II.	i.	391	i.	271
Euthyphro	I.	i.	349	i.	1
Gorgias	II.	i.	1	i.	447
*Hipparchus	I.	ii.	229	ii.	225
Hippias major	II.	iii.	407	iii.	281
*Hippias minor	I.	ii.	197	i.	363
*Ion	I.	ii.	169	i.	530
*de Justo	III.	iii.	517	iii.	372
Laches	I.	i.	249	ii.	177
Leges	III.	ii.	177	ii.	624
Lysis	I.	i.	107	ii.	203

	Ed. Bekker. Pars.	Vol.	Pag.	Ed. Steph. Vol.	Pag.
Menexenus	II.	iii.	375	ii.	233
Meno	II.	i.	323	ii.	70
*Minos	I.	ii.	247	ii.	313
Parmenides	I.	ii.	1	iii.	126
Phædo	II.	iii.	1	i.	57
Phædrus	I.	i.	1	iii.	227
Philebus	II.	iii.	129	ii.	11
Politicus	II.	ii.	243	ii.	250
Protagoras	I.	i.	147	i.	309
Respublica	III.	i.	1	ii.	327
*Sisyphus	III.	iii.	537	iii.	387
Sophistes	II.	ii.	123	i.	216
*Theages	II.	iii.	257	i.	121
Theætetus	II.	i.	173	i.	142
Timæus	III.	ii.	1	iii.	17
*Timæus Locrus	III.	iii.	377	iii.	93
*de Virtute	III.	iii.	522	iii.	376

CONSPECTUS

EORUM QUÆ

IN HAC EDITIONE CONTINENTUR.

VOL. I.

	PAG.
Diogenis Laertii Vita Platonis e recensione Marci Meibomii	i
Hesychii Milesii Vita Platonis	xxxvii
Olympiodori Vita Platonis	xl
Sententiæ et Judicia Auctorum quorundam Veterum utriusque Sermonis de Platone ejusque Oratione et Libris .	xlvii
De Platone et ejus Scriptis atque Interpretibus Dissertatio Jo. Alb. Fabricii Biblioth. Græcæ, lib. III. cap. i. .	lix
I. Elenchus Codicum Mss. Platonis ejusque Interpretum e Montefalconii Biblioth. Bibliothecarum Codicum Mss. nova	ci
II. Auctarium Elenchi Montefalconiani Codicum Mss. Platonis ejusque Interpretum	cxix
III. Auctarium Elenchi Fabriciani Editionum Platonis .	cxxxiv
Excerpta e Sam. Petiti Miscellaneorum lib. IV. cap. ii. de Ordine Librorum Platonis	cxliii
Index Codicum ab Immanuele Bekkero collatorum .	cxlvii

PAG.

ΦΑΙΔΡΟΣ 1

ΛΥΣΙΣ 207

ΠΡΩΤΑΓΟΡΑΣ 249

VOL. II.

ΛΑΧΗΣ 1

ΧΑΡΜΙΔΗΣ 41

ΕΥΘΥΦΡΩΝ 93

ΠΑΡΜΕΝΙΔΗΣ 169

ΑΠΟΛΟΓΙΑ ΣΩΚΡΑΤΟΥΣ . . 273

ΚΡΙΤΩΝ 367

ΙΩΝ 423

VOL. III.

ΙΠΠΙΑΣ ΕΛΑΤΤΩΝ 1

ΙΠΠΑΡΧΟΣ 27

ΜΙΝΩΣ 43

ΑΛΚΙΒΙΑΔΗΣ ΔΕΥΤΕΡΟΣ . . . 85

ΓΟΡΓΙΑΣ 127

ΘΕΑΙΤΗΤΟΣ 377

VOL. IV.

ΜΕΝΩΝ 1

ΕΥΘΥΔΗΜΟΣ 89

PAG.

ΚΡΑΤΥΛΟΣ 185

ΣΟΦΙΣΤΗΣ 329

ΠΟΛΙΤΙΚΟΣ . . . 479

VOL. V.

ΣΥΜΠΟΣΙΟΝ . . . 1

ΦΑΙΔΩΝ 115

ΦΙΛΗΒΟΣ 413

VOL. VI.

ΘΕΑΓΗΣ 1

ΕΡΑΣΤΑΙ 21

ΑΛΚΙΒΙΑΔΗΣ ΠΡΩΤΟΣ . . 41

ΜΕΝΕΞΕΝΟΣ . . . 137

ΙΠΠΙΑΣ ΜΕΙΖΩΝ . . . 183

ΚΛΕΙΤΟΦΩΝ 241

ΠΟΛΙΤΕΙΑ, Α . . . 251

Β . . . 328

Γ . . . 391

Δ . . . 453

Ε . . . 504

VOL. VII.

ΠΟΛΙΤΕΙΑ, Ζ . . . 1

Ζ . . . 51

PAG.

ΠΟΛΙΤΕΙΑ, Η . . . 99
Θ . . . 144
Ι . . . 180
ΤΙΜΑΙΟΣ 231
ΚΡΙΤΙΑΣ 375
ΝΟΜΟΙ, Α 403
Β 500

VOL. VIII.

ΝΟΜΟΙ, Γ 1
Δ 85
Ε 133
ϛ 185
Ζ 263
Η 345
Θ 395
Ι 460
ΙΑ 522
ΙΒ 576

VOL. IX.

ΕΠΙΝΟΜΙΣ 1
ΤΙΜΑΙΟΣ Ο ΛΟΚΡΟΣ . . 45
ΕΠΙΣΤΟΛΑΙ . . . 67
ΑΞΙΟΧΟΣ 159

PAG.

ΠΕΡΙ ΔΙΚΑΙΟΥ . . . 200

ΠΕΡΙ ΑΡΕΤΗΣ . . . 206

ΔΗΜΟΔΟΚΟΣ . . . 215

ΣΙΣΥΦΟΣ 225

ΕΡΥΞΙΑΣ 233

ΟΡΟΙ 263

ΣΧΟΛΙΑ.

ΤΙΜΑΙΟΥ ΣΟΦΙΣΤΟΥ ΛΕΞΙΚΟΝ *περὶ τῶν παρὰ* ΠΛΑΤΩΝΙ ΛΕΞΕΩΝ.

VITA PLATONIS.

DIOGENIS LAERTII

VITA PLATONIS

E RECENSIONE

MARCI MEIBOMII.

Πλάτων, Ἀρίστωνος, καὶ Περικτιόνης, ἢ Ποτώνης,[a] ἥτις τὸ γένος ἀνέφερεν[b] εἰς Σόλωνα, Ἀθηναῖος. Τούτου γὰρ ἦν ἀδελφὸς Δρωπίδης,[c] οὗ Κριτίας, οὗ Κάλαισχρος, οὗ Κριτίας ὁ τῶν τριάκοντα, καὶ Γλαύκων, οὗ Χαρμίδης καὶ Περικτιόνη, ἧς καὶ Ἀρίστωνος Πλάτων, ἔκτος ἀπὸ Σόλωνος. Ὁ δὲ Σόλων εἰς Νηλέα, καὶ Ποσειδῶνα, ἀνέφερε τὸ γένος. Φασὶ δὲ, καὶ τὸν πατέρα αὐτοῦ ἀνάγειν εἰς Κόδρον τὸν Μελάνθου, οἵτινες ἀπὸ Ποσειδῶνος ἱστοροῦνται, κατὰ Θράσυλον.[d] Σπεύσιππος δ' ἐν τῷ ἐπιγραφομένῳ Πλάτωνος περὶ Δείπνου,[e] καὶ Κλέαρχος ἐν τῷ Πλάτωνος Ἐγκωμίῳ, καὶ Ἀναξιλίδης[f] ἐν τῷ δευτέρῳ περὶ Φιλοσόφων, φασὶν, ὡς[g] Ἀθήνῃσιν ἦν λόγος, ὡραίαν οὖσαν τὴν Περικτιόνην βιάζεσθαι τὸν Ἀρίστωνα, καὶ μὴ τυγχάνειν· παυόμενόν τε τῆς βίας ἰδεῖν τὴν τοῦ Ἀπόλλωνος ὄψιν· ὅθεν καθαρὰν γάμου φυλάξαι[h] ἕως τῆς ἀποκυήσεως. Καὶ γίνεται Πλάτων, ὥς φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς, ὀγδόῃ καὶ ὀγδοηκοστῇ Ὀλυμπιάδι, Θαργηλιῶνος ἑβδόμῃ· καθ' ἣν Δήλιοι[i] τὸν Ἀπόλλωνα γενέσθαι φασί. Τελευτᾷ δ', ὥς φησιν Ἕρμιππος, ἐν γάμοις δειπνῶν, τῷ πρώτῳ ἔτει τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, βιοὺς ἔτος ἓν πρὸς τοῖς[j] ὀγδοήκοντα. Νεάνθης δέ φησιν, αὐτὸν τεττάρων καὶ ὀγδοήκοντα τελευτῆσαι ἐτῶν. Ἔστιν οὖν Ἰσοκράτους

[a] Ald. et Bas. Ποτώνης (Ald. πωτώνης) Ἀθηναῖος, ἥτις τὸ γ. ἀνέφ. εἰς Σόλ. τούτου—. Etiam in Cod. Arundel. scriptum erat Πωτώνης.

[b] Cod. Cantabrig. ἀναφέρει.

[c] Cod. Cantabr. Δρωπόδης—Περικτιόνης—Μελάνθα.

[d] Ald. θράσυλλον.

[e] Ald. Bas. περιδείπνῳ. Et sic legebatur in Cod. regio Paris. Menagius utramque lectionem ferri posse putabat.

[f] Alii libri legunt Ἀναξιάδης, auctore Stephano. Cod. Arund. Ἀναξιάδα.

[g] Ὡς deest in Ald. ut in Cod. Arund. et Cantabr.

[h] Cod. Cantabr. φυλάξας.

[i] Cod. Ar. et Cant. Δήλιον.

[j] Cod. Cant. πρὸς τά.

νεώτερος ἔτεσιν ἕξ.[k] Ὁ μὲν γὰρ ἐπὶ Λυσιμάχου, Πλάτων δὲ ἐπὶ Ἀμεινίου,[l] γέγονεν, ἐφ' οὗ Περικλῆς ἐτελεύτησεν. Ἦν δὲ τὸν δῆμον[m] Κολλυτεὺς, ὥς φησιν Ἀντιλέων ἐν δευτέρῳ περὶ Χρόνων· καὶ ἐγεννήθη κατά τινας ἐν Αἰγίνῃ, ἐν τῇ Φειδιάδου οἰκίᾳ τοῦ Θάλητος, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ Ἱστορίᾳ, τοῦ πατρὸς αὐτοῦ μετὰ καὶ ἄλλων πεμφθέντος κληρούχου, καὶ ἐπανελθόντος εἰς Ἀθήνας, ὁπόθ' ὑπὸ Λακεδαιμονίων ἐξεβλήθησαν, βοηθούντων Αἰγινήταις.[n] Ἀλλὰ καὶ ἐχορήγησεν[o] Ἀθήνῃσι, Δίωνος ἀναλίσκοντος, ὥς φησιν Ἀθηνόδωρος ἐν ὀγδόῳ Περιπάτων.[p] Ἔσχε δ' ἀδελφοὺς[q] Ἀδείμαντον, καὶ Γλαύκωνα, καὶ ἀδελφὴν Ποτώνην,[r] ἐξ ἧς ἦν Σπεύσιππος. Καὶ ἐπαιδεύθη μὲν γράμματα παρὰ Διονυσίῳ, οὗ καὶ μνημονεύει ἐν τοῖς Ἀντερασταῖς· ἐγυμνάσατο δὲ παρὰ Ἀρίστωνι τῷ Ἀργείῳ, παλαιστῇ[s] ἀφ' οὗ καὶ Πλάτων διὰ τὴν εὐεξίαν μετωνομάσθη, πρότερον Ἀριστοκλῆς ἀπὸ τοῦ πάππου καλούμενος ὄνομα, καθά φησιν Ἀλέξανδρος ἐν Διαδοχαῖς. Ἔνιοι δὲ διὰ τὴν πλατύτητα τῆς ἑρμηνείας οὕτως ὀνομασθῆναι· ἢ ὅτι πλατὺς ἦν τὸ μέτωπον, ὥς φησι Νεάνθης. Εἰσὶ δ', οἳ καὶ παλαῖσαι φασὶν αὐτὸν Ἰσθμοῖ, καθὰ καὶ Δικαίαρχος ἐν πρώτῳ περὶ Βίων· καὶ γραφικῆς ἐπιμεληθῆναι, καὶ ποιήματα γράψαι, πρῶτον μὲν διθυράμβους, ἔπειτα καὶ μέλη, καὶ τραγῳδίας. Ἰσχνόφωνός τε, φασὶν, ἦν, ὡς καὶ Τιμόθεος φησὶν ὁ Ἀθηναῖος ἐν τῷ περὶ Βίων. Λέγεται δ', ὅτι Σωκράτης ὄναρ εἶδε[t] κύκνου νεοττὸν ἐν τοῖς γόνασιν ἔχειν, ὃν καὶ παραχρῆμα πτεροφυήσαντα ἀναπτῆναι, ἡδὺ κλάγξαντα·[u] καὶ μεθ' ἡμέραν[v] Πλάτωνα αὐτῷ συστῆναι· τὸν δὲ τοῦτον εἰπεῖν[w] εἶναι τὸν ὄρνιν. Ἐφιλοσόφει δὴ τὴν ἀρχὴν ἐν Ἀκαδημίᾳ, εἶτα ἐν τῷ κήπῳ τῷ παρὰ[x] τὸν Κολωνὸν, ὥς φησιν Ἀλέξανδρος ἐν Διαδοχαῖς καθ' Ἡράκλειτον. Ἔπειτα μέντοι μέλλων ἀγωνιεῖσθαι τραγῳδίᾳ πρὸ τοῦ Ὀλυμπιακοῦ[y] θεάτρου, Σωκράτους ἀκούσας κατέφλεξε τὰ ποιήματα, εἰπὼν, Ἥφαιστε πρόμολ' ὧδε, Πλάτων νύ τι[z] σεῖο χατίζει. Τοὐντεῦθεν δὴ γεγονὼς, φασὶν, εἴκοσιν ἔτη,[a] διήκουσε Σωκράτους· ἐκείνου δ' ἀπελθόντος προσεῖχε Κρατύλῳ τε,

[k] Ἔτεσιν ἑπτὰ corr. Meursius de Archont. p. 97.

[l] Salmasius ad Solin. p. 111, a corr. Ἀμείνονος, et cum eo Menagius. Nunnesius conj. ἐπ' Ἐπαμινώνδα.

[m] Bas. τῶν δήμων. Cod. Cant. καλυτής. Meursius corr. Κολυττεὺς de Populis Att. v. Κολυττός· sed Ionsius conj. Χολλιδεύς. Ald. Φαβορῖνος.

[n] Ald. Bas. αἰγινίταις.

[o] Ald. ἐχορήγησαν.

[p] Cod. Cant. ἐν περιπάτῳ. Etiam a Bas. abest ὀγδόῳ.

[q] Bas. ἀδελφόν.

[r] Cod. Arund. et Ald. πωτώνην, ut s. l.

[s] Ald. τῷ ἀργίας παλαιστῇ.

[t] Ita rescripsimus ex Ald. pro εἶδεν. De re ipsa, quæ attingitur hoc loco, v. Pausan. i. 30. p. 76.

[u] Ald. κλάξαντα.

[v] Ald. ἡμέρας.

[w] Εἰπεῖν deest in Bas.

[x] Ald. et Cod. reg. Paris. περί. Cod. Cant. Κολονόν.

[y] Ald. et Cod. reg. Paris. διονυσιακοῦ· ut Stephanus quoque edidit, probante Menagio.

[z] Bas. πρόσμολ'—νύ τοι. Ald. χατίζειν.

[a] Ald. γεγονὼς εἴκοσιν ἐτῶν.

τῷ Ἡρακλειτείῳ, καὶ Ἑρμογένει, τῷ τὰ[b] Παρμενίδου φιλοσοφοῦντι. Ἔπειτα γενόμενος ὀκτὼ καὶ εἴκοσιν ἐτῶν, καθά φησιν Ἑρμόδωρος, εἰς Μέγαρα πρὸς Εὐκλείδην σὺν ἄλλοις[c] τισὶ Σωκρατικοῖς ὑπεχώρησεν. Ἔπειτα εἰς Κυρήνην ἀπῆλθε πρὸς Θεόδωρον τὸν μαθηματικόν· κἀκεῖθεν εἰς Ἰταλίαν πρὸς τοὺς Πυθαγορικούς, Φιλόλαον καὶ Εὔρυτον· ἔνθεν τε εἰς Αἴγυπτον παρὰ τοὺς προφήτας· οὗ φασι καὶ Εὐριπίδην αὐτῷ συνακολουθῆσαι,[d] καὶ αὐτόθι νοσήσαντα πρὸς τῶν ἱερέων ἀπολυθῆναι[e] τῇ διὰ θαλάττης[f] θεραπείᾳ· ὅθεν καὶ εἰπεῖν, Θάλασσα κλύζει πάντα τἀνθρώπων κακά. Ἀλλὰ καὶ καθ' Ὅμηρον φάναι, πάντας ἀνθρώπους Αἰγυπτίους ἰατροὺς εἶναι. Διέγνω δὴ[g] ὁ Πλάτων καὶ τοῖς μάγοις συμμίξαι· διὰ δὲ τοὺς[h] τῆς Ἀσίας πολέμους ἀπέστη. Ἐπανελθὼν δὲ εἰς Ἀθήνας, διέτριβεν ἐν Ἀκαδημίᾳ. Τὸ δ' ἐστὶ γυμνάσιον προάστειον ἀλσῶδες, ἀπό τινος ἥρωος ὀνομασθὲν Ἀκαδήμου·[i] καθὰ καὶ Εὔπολις ἐν Ἀστρατεύτοις φησὶν, Ἐν εὐσκίοις δρόμοισιν[j] Ἀκαδήμου θεοῦ. Ἀλλὰ καὶ ὁ Τίμων, εἰς τὸν Πλάτωνα λέγων, φησὶ, Τῶν πάντων δ' ἡγεῖτο πλατύστατος,[k] ἀλλ' ἀγορητὴς Ἡδυεπὴς, τέττιξιν ἰσογράφος, οἵ θ' Ἑκαδήμου Δένδρει[l] ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσι. Πρότερον γὰρ[m] διὰ τοῦ ε Ἑκαδημία ἐκαλεῖτο. Ὁ δ' οὖν φιλόσοφος, καὶ Ἰσοκράτει φίλος ἦν· καὶ αὐτῶν Πραξιφάνης συνέγραψε διατριβήν τινα περὶ ποιητῶν, γενομένην ἐν ἀγρῷ παρὰ Πλάτωνι, ἐπιξενωθέντος τοῦ Ἰσοκράτους. Καὶ αὐτόν φησιν Ἀριστόξενος τρὶς ἐστρατεῦσθαι·[n] ἅπαξ μὲν εἰς Τάναγραν, δεύτερον δὲ εἰς Κόρινθον, τρίτον ἐπὶ Δηλίῳ· ἔνθα καὶ ἀριστεῦσαι. Μίξιν τε ἐποιήσατο τῶν τε Ἡρακλειτείων λόγων, καὶ Πυθαγορικῶν, καὶ Σωκρατικῶν. Τὰ μὲν γὰρ αἰσθητὰ καθ' Ἡράκλειτον, τὰ δὲ νοητὰ κατὰ Πυθαγόραν, τὰ δὲ πολιτικὰ κατὰ Σωκράτην, ἐφιλοσόφει. Λέγουσι δέ τινες, ὧν ἐστι καὶ Σάτυρος, ὅτι Δίωνι ἐπέστειλεν εἰς Σικελίαν,[o] ὠνήσασθαι τρία βιβλία Πυθαγορικὰ παρὰ Φιλολάου μνῶν ἑκατόν. Καὶ γὰρ ἐν εὐπορίᾳ, φασὶν, ἦν, παρὰ Διονυσίου λαβὼν ὑπὲρ τὰ ὀγδοήκοντα τάλαντα· ὡς καὶ Ὀνήτωρ[p] φησὶν ἐν τῷ ἐπιγραφομένῳ, Εἰ χρηματιεῖ-

[b] Τὰ abest a Bas.
[c] Ald. σὺν καὶ ἄλλοις.
[d] Bas. ἀκολουθῆσαι.
[e] Stephanus ait fuisse, qui legendum putarent ἀπολουσθῆναι.
[f] Ald. διαθαλάττης.
[g] Ald. διὲ γνωδή.
[h] Τοὺς abest a Bas.
[i] Menagius corr. Ἑκαδήμου· quomodo etiam Suidas legit, qui descripsit verba Laertii v. Ἀκαδημία.
[j] Meursius Exerc. Crit. ii. 12. conj. δρυμοῖσιν.
[k] Cod. Ar. et Cant. πλατίστατος.
[l] Bas. δένδρα—ἰᾶσι. Ald. δένδρεϊ. Menagius conj. δενδρέῳ : nam Hesychius Milesius legit δένδρῳ.
[m] Cod. Cant. πρότερον δέ.
[n] Vid. Ælian. V. H. vii. 14. et ibi Perizonius. Nam Joh. Burc. Mencquenius in biblioth. Vir. militia et scriptis illustrium s. 188. p. 350. ss. ea, quæ ab utroque scriptore, Diogene Laertio et Æliano, de Platonis philosophi militia dicuntur, quum ipsi rationi temporum adversentur, ad Platonem Comicum, Eupolidis æqualem, referenda docet.
[o] Ald. εἰσικελίαν.
[p] Bas. ὠνήτωρ.

ται ὁ σοφός. Πολλὰ δὲ καὶ παρ' Ἐπιχάρμου τοῦ κωμῳδοποιοῦ προσωφέληται, τὰ πλεῖστα μεταγράψας, καθά φησιν Ἄλκιμος ἐν τοῖς πρὸς Ἀμύνταν, ἅ ἐστι τέτταρα· ἔνθα καὶ ἐν τῷ πρώτῳ φησὶ ταῦτα· φαίνεται δὲ καὶ Πλάτων πολλὰ τῶν Ἐπιχάρμου λέγων. Σκεπτέον δὲ, ὁ Πλάτων φησὶν, αἰσθητὸν μὲν εἶναι, τὸ μηδέποτε ἐν τῷ ποιῷ, μηδὲ ποσῷ, διαμένον, ἀλλ' ἀεὶ ῥέον, καὶ μεταβάλλον· ὡς ἐξ ὧν ἄν τις ἀνέλῃ[q] τὸν ἀριθμὸν, τούτων, οὔτε ἴσων οὔτε τινῶν, οὔτε ποσῶν, οὔτε ποιῶν, ὄντων. Ταῦτα δ' ἐστὶν, ὧν ἀεὶ γένεσις, οὐσία δὲ μηδέποτε, πέφυκε· νοητὸν δὲ, ἐξ οὗ μηδὲν ἀπογίνεται, μηδὲ προσγίνεται· τοῦτο δ' ἐστὶν ἡ τῶν ἀϊδίων φύσις, ἣν ὁμοίαν τε, καὶ τὴν αὐτὴν, ἀεὶ συμβέβηκεν εἶναι. Καὶ μὴν ὅ γε[r] Ἐπίχαρμος περὶ τῶν αἰσθητῶν καὶ νοητῶν ἐναργῶς εἴρηκεν, Ἀλλ' ἀεί τοι θεοὶ παρῆσαν, καὶ ὑπέλιπον οὐ[s] πώποκα· Τάδε δ' ἀεὶ πάρεσθ' ὅμοια, διὰ δὲ[t] τῶν αὐτῶν ἀεί. Ἀλλὰ λέγεται μὰν χάος πρᾶτον[u] γενέσθαι τῶν θεῶν. Πῶς δέ κ' ἀμήχανόν[v] γ' ἀπό τινος μηδὲν ὅττι πρᾶτον μόλοι. Οὐκ ἄρ' ἔμολε πρᾶτον[w] οὐδὲν, οὐδὲ μὰ Δία δεύτερον. Τῶν δέ γ' ὧν[x] ἄμμες νῦν ὧδε λέγωμεν, μέλλει τάδ' εἶναι. Ποτ' ἀριθμόν τις περισσὸν, αἰ δὲ λῆς τὸν ἄρτιον, Ποτεθέμεν λῆ ψᾶφον, ἢ καὶ τὰν ὑπάρχουσαν λαβεῖν. Ἦ δοκεῖ κᾆτοῖ καὶ ὁ αὐτὸς εἶμεν; οὐκ ἐμὶν τάχα. Οὐδὲ μὰν, οὐδὲ ποτὶ μέτρον παχὺ ἐὸν ποτθέμεν λῆ τις Ἕτερον στερῥὸν μᾶκος, ἢ τοῦ πρόσθ' ἐόντος Ἀποταμεῖν, ἔτι χ' ὑπάρχοι κεῖνο[y] τὸ μέτρον. Οὐ γὰρ ὧδε νῦν ὁρῇ καὶ τὼς ἀνθρώπως. Ὁ μὲν γὰρ αὔξεσθ', ὁ δὲ γα μὰν φθίνει. Ἐν μεταλλαγᾷ δὲ πάντες ἐντὶ πάντα τὸν χρόνον. Ὁ δὲ μεταλλάσσει κατὰ φύσιν, καὶ οὔποκ' ἐν ταὐτῷ μένει. Ἀλλὰ ἕτερον εἴη κ' αὐτὸ δὴ τοῦ παρεξεστακότος. Καὶ τὺ δὴ

[q] Ald. ἀνέλοι.

[r] Bas. καὶ ὅγε μήν.

[s] Is. Casaubonus conj. παρῆσαν, ὑπέλιπον δ' οὐ.

[t] Casaub. conj. δὲ ἀεὶ—οὐ διὰ δὲ. Bas. τάδ' ἀεὶ.

[u] Casaub. conj. μὰν καὶ χάος πρῶτον. Ald. πρᾶτον χάος—ὅτι πρᾶτον μέλλοι—ἔμελλε—δεύτερον δ' ὧν ἄμμες—λέγων μέλλει—πότ' ἄασθμόν γε περισσὸν—ποτὲ θέμην λῆς—οὐδ' ἀπὸ τεῦ μέτρον—ποτεθέμεν.

[v] Casaub. conj. Πῶς δέ; κ' ἀμάχανον —ἀπὸ μηδενὸς ὥστε τι πρῶτον.

[w] Casaub. conj. ἔμολέ γα πρῶτον.

[x] Bas. τῶν δ' ὧν—λέγων μέλλει—ποτεθέμεν λῆ—. Cod. Ar. et Cant. Τῶν δ' ὧν ἄμες—λέγων (Ar. λέγω)—Ποτὲ θέμιν—δοκὲν ἀ τοῖ—(Cant. οὐ μὴν οὐκ ἐμὴν τάκα)—ποτ' ἐθέμιν—et ἕτερον superscr. τῷ στερῥὸν in Arund. Casaub. conj. Τῶνδε δ' ὧν—λέγω, μέλλει τάδ' ἔμμεναι. Αἰ γάρ ποτ' ἀριθμὸν τὸν περισσὸν—, Ποτιθέμεναι λῆς ψᾶφον—Ἦ ὧν δοκεῖ κά τοι—ἦμεν;—οὐδ' αἰ ποτὶ—παχυαῖον καταθέμεν Λῆ τις ἕτερον μᾶκος ἢ—ἐόντος ἀποταμεῖν, ἔτι χ'—τῆνο—οὐ γὰρ ὧδε; νῦν ὅρη καὶ τώς. Ὁ μὲν γὰρ ἄξεθ'—Ἐνὶ μεταλλαγᾷ—κα φύσιν—Ἀλλὰ δὴ ἕτερον—αὐτὸ τοῦ—χθὲς—κ' οὔποκ' αὐτοὶ—.

[y] Cod. reg. Paris. ὑπάρχοι. Bas. κ' ὑπάρχοι—μένει, ἕτερον—. Ald. ἔτι δ' ὑπάρχυι ἐκεῖνο—ἄνξεθ'—ἕτερον εἴη. κατὰ δὴ τοῦ—κοὔποχ'—κατὰ τὸν—. Batierius d. l. p. 339. ss. hos Epicharmi versiculos ita emendare conatus est: Πῶς δέ κ'; ἀμήχανόν γά πω τινὸς οὐδὲν ὅτι—. Οὐ γὰρ ἔμολε—λέγομεν—τάδ' ἔμεναι· Αἰ ποτ'—οὐδ' αἰ ποτὶ—ποτεθέμεν Λῆ ἕτερον—ἢ τῷ—ἀποταμὲν, Ἔτι—τῆνο τὸ μ. οὐ γὰρ ὧδε; νῦν ὅρη Καὶ τὼς ἀνθρ. ὁ μὲν γὰρ αὔξεθ', ὁ δέ γα μὰν φθίνει—καττὰν φύσιν οὔ ποκ'—Ἀλλ' ἕτερον εἴη κ' ἂν τὸ δὴ τῶ παρεξ. Cod. Cant. ὁ δέ γε—οὔποκ'—καὶ τῷ· sed Ar. κατὸ—οὔπεν.

κἀγὼ χθὲς ἄλλοι, καὶ νῦν ἄλλοι τελέθομες, Καὐθις ἄλλοι, κ' οὔπω χ' αὐτοὶ καττὸν λόγον. Ἔτι φησὶν ὁ Ἄλκιμος καὶ ταυτὶ, Φασὶν οἱ σοφοὶ τὴν ψυχὴν τὰ μὲν διὰ τοῦ σώματος αἰσθάνεσθαι, οἷον ἀκούουσαν, βλέπουσαν· τὰ δ' αὐτὴν καθ' αὐτὴν[z] ἐνθυμεῖσθαι, μηδὲν τῷ σώματι χρωμένην. Διὸ καὶ τῶν ὄντων τὰ μὲν αἰσθητὰ εἶναι, τὰ δὲ νοητά· ὧν ἕνεκα καὶ Πλάτων ἔλεγεν, ὅτι δεῖ τοὺς συνιδεῖν τὰς τοῦ παντὸς ἀρχὰς ἐπιθυμοῦντας, πρῶτον μὲν αὐτὰς καθ' αὐτὰς διελέσθαι τὰς ἰδέας, οἷον ὁμοιότητα, καὶ μονάδα, καὶ πλῆθος, καὶ μέγεθος, καὶ στάσιν, καὶ κίνησιν· δεύτερον, αὐτὸ καθ' αὐτὸ τὸ καλὸν, καὶ ἀγαθὸν, καὶ δίκαιον, καὶ τὰ τοιαῦτα, ὑποθέσθαι· τρίτον τῶν ἰδεῶν συνιδεῖν, ὅσαι πρὸς ἀλλήλας εἰσὶν, οἷον ἐπιστήμην, ἢ μέγεθος, ἢ δεσποτείαν· ἐνθυμουμένους, ὅτι τὰ παρ' ἡμῖν, διὰ τὸ μετέχειν ἐκείνων, ὁμώνυμα ἐκείνοις ὑπάρχοι·[a] λέγω δὲ, οἷον δίκαια μὲν, ὅσα τοῦ δικαίου· καλὰ δὲ, ὅσα τοῦ καλοῦ. Ἔστι δὲ τῶν εἰδῶν ἓν ἕκαστον ἀΐδιόν τε, καὶ νόημα,[b] καὶ πρὸς τούτοις ἀπαθές.[c] Διὸ καί φησιν, ἐν τῇ φύσει τὰς ἰδέας ἑστάναι, καθάπερ παραδείγματα· τὰ δ' ἄλλα ταύταις ἐοικέναι, τούτων ὁμοιώματα[d] καθεστῶτα. Ὁ τοίνυν Ἐπίχαρμος περί τε τοῦ ἀγαθοῦ, καὶ περὶ τῶν ἰδεῶν, οὕτω λέγει, Ἆρ' ἐστὶν αὔλησις τὶ πρᾶγμα; πάνυ μὲν οὖν. Ἄνθρωπος[e] οὖν αὐλησίς ἐστιν; οὐδαμῶς. Φέρε ἴδω, τί δ' αὐλητάς; τίς εἶμέν τοι δοκεῖ; Ἄνθρωπος. ἢ οὐ γάρ; πάνυ μὲν οὖν. Οὐκοῦν δοκεῖς οὕτως ἔχειν περί τ' ἀγαθοῦ; Τὸ μὲν, ἀγαθὸν, τὸ δὲ πρᾶγμα εἶμεν καθ' αὑτό; Ὅς τις δέ κα εἰδῇ μαθὼν τᾆνο, ἀγαθὸς ἤδη γίνεται. Ὥσπερ γὰρ εἰ τὴν αὔλησιν αὐτὸς μαθὼν, Ἦ ὄρχησιν ὀρχηστὰς, ἢ πλοκεὺς πλοκὰν, Ἦ πᾶν γε ὁμοίως τῶν τοιούτων, ὅ, τι τὺ λῇς, Οὐχ αὐτὸς εἴη χ' ἁ τέχνα· τεχνικός γε μάν. Πλάτων ἐν τῇ περὶ τῶν ἰδεῶν ὑπολήψει φησὶν, Εἴπερ ἐστὶ μνήμη, τὰς ἰδέας ἐν τοῖς οὖσιν ὑπάρχειν· διὰ τὸ τὴν μνήμην ἠρεμοῦντος τινὸς καὶ μένοντος εἶναι. Μένειν δὲ οὐδὲν ἕτερον, ἢ τὰς ἰδέας. Τίνα γὰρ ἂν τρόπον, φησὶ, διεσώζετο τὰ ζῶα μὴ τῆς ἰδέας ἐφαπτόμενα, καὶ πρὸς τοῦτο τὸν νοῦν φυσικὸν[f] εἰληφότα; νῦν δὲ μνημονεύει τῆς ὁμοιότητός τε, καὶ τροφῆς, ὁποία τις ἐστὶν αὐτοῖς, ἐνδεικνύμενα,[g] διότι πᾶσι

[z] Bas. καθ' αὐτὴν—ἔλεγε. Etiam Ald. ἔλεγε.

[a] Ald. ὑπάρχει.

[b] Is. Casaubon. cor. ἀΐδιόν τε νόημα. Menagius conj. ἀΐδιόν τε καὶ νοητόν.

[c] Ald. ἐμπαθές.

[d] Alii, ut Steph. et Cod. Ar. legunt ὁμοιότατα· vel ὁμοιότητες, auctore Stephano, ut Ald. Sed Bas. et Cod. Cant. ὁμοιότητα.

[e] Is. Casaub. conj. Ἄνθρωπος;—πάνυ μὲν οὖν. οὐκ οὖν δοκεῖς Οὕτως ἔχειν καὶ περὶ τῶ ἀγαθῶ; τὸ μὲν Ἀγαθὸν τόδε, πρᾶγμ' εἶμεν καθ' αὑτό. ὅστις δέ κα Εἰδῇ —τᾆνο', ἀγαθὸς—Ὥσπερ γα τὰν αὔλησιν αὐλητὰς μαθὼν, Ὄρχησιν ὀρχηστάς τις, ἢ—γ' ὁμοίως—Οὐκ αὐτὸς—. Ald. Bas. ἔχειν καὶ περὶ τοῦ ἀγαθοῦ—εἰ μὲν—αὔλησιν αὐλητὰς μαθὼν, ἢ τὴν ὄρχησιν ὀρχηστάς τις ἢ πλοκεύς· (Ald. πλοκὴς πλοκὰς—ὅτι λῆς)—. Cod. Cant. τί αὐλητὰς—δοκεῖν οὕτως—ὅτι τοι λῆς· etiam Cod. Arund. τοι habet pro τύ.

[f] Ald. Bas. τοῦτον—φυσικῶς. Etiam Cod. Arund. habet φυσικὼς.

[g] Is. Casaubonus conj. αὐτοῖς· ἐνδεικ-

τοῖς ζώοις ἔμφυτός ἐστιν ἡ τῆς ὁμοιότητος θεωρία· διὸ καὶ τῶν ὁμοφύλων αἰσθάνεται. Πῶς οὖν ὁ Ἐπίχαρμος; Εὖμαιε, τὸ σοφόν ἐστιν[h] οὐ καθ' ἓν μόνον, Ἀλλ' ὅσα περ[i] ζῇ, πάντα καὶ γνώμαν ἔχει. Καὶ γὰρ τὸ θῆλυ τῶν ἀλεκτορίδων γένος, Αἳ λῆς καταμαθεῖν ἀτενὲς, οὐ τίκτει τέκνα Ζῶντ';[j] ἀλλ' ἐπωάζει, καὶ ποιεῖ ψυχὴν ἔχειν. Τὸ δὲ σοφὸν ἡ φύσις τόδ' οἶδεν ὡς ἔχει Μόνα· πεπαίδευται γὰρ αὖ ταύτας ὕπο.[k] Καὶ πάλιν, Θαυμαστὸν οὐδέν ἐστι, μὲ[l] ταῦθ' οὕτω λέγειν, Καὶ ἀνδάνειν αὐτοῖσιν αὐτοὺς καὶ δοκεῖν Καλῶς πεφυκέναι· καὶ γὰρ ἡ κύων κυνὶ Κάλλιστον εἶμεν φαίνεται, καὶ βοῦς βοΐ, Ὄνος δὲ ὄνῳ κάλλιστον, ὗς δὲ ὑΐ.[m] Καὶ ταῦτα μὲν, καὶ τὰ τοιαῦτα, διὰ τῶν τεσσάρων βιβλίων παραπήγνυσιν ὁ Ἄλκιμος, παρασημαίνων τὴν ἐξ Ἐπιχάρμου Πλάτωνι περιγενομένην[n] ὠφέλειαν. Ὅτι δ' οὐδ' αὐτὸς Ἐπίχαρμος ἠγνόει τὴν αὐτοῦ[o] σοφίαν, μαθεῖν ἐστι καὶκ τούτων, ἐν οἷς τὸν ζηλώσοντα προμαντεύεται, Ὡς δὲ ἐγὼ δοκέω, δοκέω γὰρ σαφὲς ἄμμι[p] τοῦθ', ὅτι Τῶν ἐμῶν μνάμα[q] ποκ' ἐσσεῖται λόγων τούτων ἔτι. Καὶ λαβών τις αὐτὰ, περιδύσας τὸ μέτρον, ὃ νῦν ἔχει, Εἶμα[r] δοὺς, καὶ πορφυρᾶν[s] λόγοισι ποικίλας καλοῖς, Δυσπάλαιστος ὢν, τοὺς ἄλλους εὐπαλαίστους ἀποφανεῖ. Δοκεῖ δὲ[t] Πλάτων, καὶ τὰ Σώφρονος τοῦ μιμογράφου βιβλία ἡμελημένα πρῶτος εἰς Ἀθήνας διακομίσαι, καὶ ἠθοποιῆσαι πρὸς αὐτῶν,[u] ἃ καὶ εὑρεθῆναι ὑπὸ τῇ κεφαλῇ[v] αὐτοῦ. Τρὶς δὲ πέπλευκεν εἰς Σικελίαν· πρῶτον μὲν κατὰ θέαν τῆς νήσου, καὶ τῶν κρατήρων, ὅτε καὶ Διονύσιος ὁ Ἑρμοκράτους, τύραννος ὢν, ἠνάγκασεν, ὥστε συμμίξαι αὐτῷ. Ὁ δὲ διαλεγόμενος περὶ τυραννίδος, καὶ φάσκων, ὡς οὐκ ἔστι τοῦτο κρεῖττον, ὃ συμφέρον[w] αὐτῷ μόνον,[x] εἰ μὴ καὶ ἀρετῇ διαφέροι, προσέκρουσεν αὐτῷ. Ὀργισθεὶς γὰρ, Οἱ λόγοι σου, φησὶ, γεροντιῶσι· καὶ ὃς, Σοῦ δέ γε τυραννιῶσιν. Ἐντεῦθεν ἀγανακτήσας ὁ τύραννος, πρῶτον μὲν ἀνελεῖν ὥρμησεν αὐτόν· εἶτα παρακληθεὶς ὑπὸ Δίωνος, καὶ Ἀρι-

νύμενος. Certe Ald. habet αὐτοῖς, ἐνδεικνύμενος.

[h] Ald. εὖμα ἐτόσοφόν ἐστιν.

[i] Is. Casaubonus corr. ὅσσά περ—ἐπώζει—ψυχὰν—. Ald. πάντα γνώμαν ἔχειν. Cod. Arund. καί γα τὸ θῆλυ.

[j] Ald. Bas. et Cod. Arund. ζῶντα. Ald. ἐπ' ὠάζει.

[k] H. e. *ab ista* natura *enim* iidem *sunt procreati et formati.* v. Batierius d. l. p. 342. s. Fuit, auctore Menagio, qui legeret, αὐτᾶ ὕπο.

[l] Ald. οὐδέν με—ἀνδάνειν, ut Cod. Arund. et Cantabr.

[m] Is. Casaubonus corr. κάλλιστόν ἐστιν, ὗς δ' ὑΐ.

[n] Ald. Bas. περιγινομένην.

[o] Ald. Bas. αὐτοῦ.

[p] Bas. ἀμι. Ald. ἅμα. Cod. reg. Paris. δοκέων γὰρ σαφὲς ἀμί.

[q] Ald. Bas. μνᾶμα, ut Cod. Cantabr.

[r] Ald. Bas. εἶμα.

[s] Is. Casaubonus corr. πορφύραν, ut edidit Aldus. Cod. Arund. ποιφίλλας· et Cod. Cantabr. ἀποφαίνει.

[t] Cod. Arund. Cantabr. δοκεῖ μέν.

[u] Cod. Cant. πρὸς αὐτῷ.

[v] Ald. ὑπὸ τῆς κεφαλῆς.

[w] Dan. Heinsius conj. συμφέρει, ut legitur in Ald. Cod. Cantabr. συμφέρον αὐτό.

[x] Muretus Var. Lect. xviii. 11. conj. αὐτόνομον.

στομένους, τοῦτο μὲν οὐκ ἐποίησε, παρέδωκε δ' αὐτὸν Πόλιδι τῷ Λακεδαιμονίῳ κατὰ καιρὸν διὰ πρεσβείαν[y] ἀφιγμένῳ, ὥστε ἀποδόσθαι· κἀκεῖνος ἀγαγὼν αὐτὸν εἰς Αἴγιναν, ἐπίπρασκεν· ὅτε καὶ Χάρμανδρος Χαρμανδρίδου ἐγράψατο αὐτῷ δίκην θανάτου, κατὰ τὸν παρ' αὐτοῖς τεθέντα νόμον, τὸν πρῶτον ἐπιβάντα Ἀθηναίων τῇ νήσῳ, ἄκριτον ἀποθνήσκειν. Ἦν δ' αὐτὸς ὁ θεὶς τὸν νόμον, καθά φησι Φαβωρῖνος[z] ἐν Παντοδαπῇ Ἱστορίᾳ. Εἰπόντος δέ τινος, ἀλλὰ κατὰ παιδιὰν, φιλόσοφον εἶναι τὸν ἐπιβάντα, ἀπέλυσαν. Ἔνιοι δέ φασι παραχθῆναι αὐτὸν εἰς τὴν ἐκκλησίαν, καὶ τηρούμενον μηδ' ὁτιοῦν φθέγξασθαι· ἑτοίμως[a] δὲ ἐκδέξασθαι τὸ συμβαῖνον. Οἱ δὲ ἀποκτεῖναι μὲν αὐτὸν οὐ διέγνωσαν, πωλεῖν δὲ ἔκριναν τῷ τρόπῳ τῶν αἰχμαλώτων. Λυτροῦται δὴ αὐτὸν κατὰ τύχην παρὼν Ἀννίκερις[b] ὁ Κυρηναῖος εἴκοσι μνῶν· οἱ δὲ, τριάκοντα· καὶ ἀναπέμπει Ἀθήναζε πρὸς τοὺς ἑταίρους. Οἱ δ' εὐθὺς τἀργύριον ἐξέπεμψαν, ὅπερ οὐ προσήκατο, εἰπὼν, μὴ μόνους ἐκείνους ἀξίους εἶναι Πλάτωνος κήδεσθαι. Ἔνιοι δὲ καὶ Δίωνα ἀποστεῖλαι φασὶ τὸ ἀργύριον, καὶ τὸν μὴ προσέσθαι, ἀλλὰ κηπίδιον αὐτῷ τὸ ἐν Ἀκαδημίᾳ πρίασθαι. Τὸν μέντοι Πόλιδα λόγος ὑπό τε Χαβρίου ἠττηθῆναι, καὶ μετὰ ταῦτα ἐν Ἑλίκῃ[c] καταποντωθῆναι, τοῦ δαιμονίου μηνίσαντος αὐτῷ διὰ τὸν φιλόσοφον, ὡς καὶ Φαβωρῖνος φησὶν ἐν πρώτῳ τῶν Ἀπομνημονευμάτων. Οὐ μὴν δὲ ἡσύχαζεν ὁ Διονύσιος, μαθὼν δὲ ἐπέστειλε Πλάτωνι, μὴ κακῶς ἀγορεύειν αὐτόν. Καὶ ὃς ἀντεπέστειλε,[d] μὴ τοσαύτην αὐτῷ σχολὴν εἶναι, ὥστε Διονυσίου μεμνῆσθαι. Δεύτερον πρὸς νεώτερον ἦκε Διονύσιον, αἰτῶν γῆν, καὶ ἀνθρώπους τοὺς κατὰ τὴν πολιτείαν αὐτοῦ[e] ζησομένους. Ὁ δὲ, καίπερ ὑποσχόμενος, οὐκ ἐποίησεν. Ἔνιοι δέ φασι, καὶ κινδυνεῦσαι αὐτὸν ὡς ἀναπείθοντα Δίωνα, καὶ Θεώταν,[f] ἐπὶ τῇ τῆς νήσου ἐλευθερίᾳ· ὅτε καὶ Ἀρχύτας αὐτὸν ὁ Πυθαγορικὸς, γράψας ἐπιστολὴν πρὸς Διονύσιον, παρῃτήσατο, καὶ διέσωσεν εἰς Ἀθήνας. Ἔστι δὲ ἡ ἐπιστολὴ ἥδε· Ἀρχύτας Διονυσίῳ ὑγιαίνειν. Ἀπεστάλκαμεν[g] πάντες οἱ Πλάτωνος φίλοι τὼς περὶ Λαμίσκον τε, καὶ Φωτίδαν,[h] ἀπολαμψόμενοι[i] τὸν ἄνδρα, καττὰν[j] παρὰ τὶν γενομέναν ὁμολογίαν. Ὀρθῶς[k] καὶ ποιεῖς,[l] μιμνασκόμενος τήνας τᾶς σπουδᾶς, ἠνίκα πάντας ἄμ-

[y] Cod. Arund. Πόλλιδι. Ald. κατακαιρὸν διαπρεσβείαν. Cod. Cantabr. ἀφικομένῳ.

[z] Ald. φαβαρῖνος.

[a] Ald. ἑτοίμως.

[b] Ald. ἀνίκερις.

[c] Bas. πόλιν—χαυρίου—ἐλίκῃ. Etiam Ald. πόλιν. Cod. Cantabr. πάλιν. Cod. Arund. Πόλινδα.

[d] Cod. Cantabr. ἀναγορεύειν αὐτῷ καὶ ὃς ἀνταπ.

[e] Cod. Cantabr. αὐτῷ.

[f] Bas. θεώνταν.

[g] Menagius cor. ἀπεστάλκαμες.

[h] Ald. φρωτίδαν.

[i] Ald. Bas. ἀπολαψόμενοι. Cod. Ar. ἀπολαμψύμενοι.

[j] Ald. Bas. κατὰ τάν.

[k] Ald. Ὀρθὼς —.

[l] Alii legunt ποιοῖς, probante Stephano: ut Aldobr. et Cod. Arund. F. ποεῖς, et mox ποῶν.

με[m] παρεκάλεις ποτ᾽ ἂν Πλάτωνος ἄφιξιν, ἀξιῶν προτρέπεσθαί τε αὐτὸν, καὶ ἀναδέχεσθαι, τά τε ἄλλα, καὶ τὰ περὶ τὰν[n] ἀσφάλειαν, μένοντί τε, καὶ ἀφορμιῶντι.[o] Μέμνασο δὲ καὶ τῆνο, ὅτι περὶ πολλῶν[p] ἐποιήσω τὰν ἄφιξιν αὐτῶ· καὶ ἀγάπας ἐκ τήνω τῶ χρόνω,[q] ὡς οὐδένα τῶν παρὰ τίν. Αἰ δέ τις[r] γέγονε τραχύτας, ἀνθρωπίζειν[s] χρὴ, κἀποδιδόμεν ἀμῖν[t] ἀβλαβῆ τὸν ἄνδρα. Ταῦτα γὰρ ποιῶν, δίκαια πράξεις, καὶ ἀμῖν χαριῆ.[u] Τρίτον ἦλθε διαλλάξων Δίωνα Διονυσίῳ· οὐ τυχὼν δὲ, ἄπρακτος ἐπανῆλθεν εἰς τὴν πατρίδα· ἔνθα πολιτείας μὲν οὐχ ἥψατο, καίτοι πολιτικὸς[v] ὢν, ἐξ ὧν γέγραφεν. Αἴτιον δὲ τὸ ἤδη τὸν δῆμον ἄλλοις πολιτεύμασιν ἐνειθίσθαι.[w] Φησὶ δὲ Παμφίλη[x] ἐν τῷ πέμπτῳ καὶ εἰκοστῷ τῶν Ὑπομνημάτων, ὡς Ἀρκάδες, καὶ Θηβαῖοι, μεγάλην πόλιν οἰκίζοντες, παρεκάλουν[y] αὐτὸν νομοθέτην. Ὁ δὲ, μαθὼν, ἶσον ἔχειν[z] οὐ θέλοντας, οὐκ ἐπορεύθη. Λόγος,[a] ὅτι καὶ Χαβρίᾳ[b] συνείπετο τῷ στρατηγῷ φεύγοντι θανάτου, μηδενὸς[c] τῶν πολιτῶν τοῦτο πρᾶξαι βουληθέντος. Ὅτε[d] καὶ ἀνιόντι αὐτῷ εἰς τὴν ἀκρόπολιν σὺν τῷ Χαβρίᾳ, Κρώβυλος ὁ συκοφάντης ἀπαντήσας φησὶν, Ἄλλῳ συναγορεύων ἥκεις, ἀγνοῶν, ὅτι καί σε τὸ Σωκράτους κώνειον[e] ἀναμένει; τὸν δὲ φάναι, Καὶ ὅτε ὑπὲρ τῆς πατρίδος ἐστρατευόμην, ὑπέμενον τοὺς κινδύνους· καὶ νῦν ὑπὲρ τοῦ καθήκοντος διὰ φίλον ὑπομενῶ. Οὗτος πρῶτος ἐν ἐρωτήσει λόγον παρήνεγκεν, ὥς φησι Φαβωρῖνος ἐν ὀγδόῃ Παντοδαπῆς Ἱστορίας· καὶ πρῶτος τὸν κατὰ τὴν ἀνάλυσιν τῆς ζητήσεως τρόπον εἰσηγήσατο Λεωδάμαντι τῷ Θασίῳ·[f] καὶ πρῶτος ἐν φιλοσοφίᾳ ἀντίποδας[g] ὠνόμασε, καὶ στοιχεῖον, καὶ διαλεκτικὴν, καὶ ποιήματα,[h] καὶ τοῦ ἀριθμοῦ τὸν προμήκη, καὶ τῶν περάτων τὴν ἐπίπεδον ἐπιφάνειαν, καὶ θεοῦ πρόνοιαν. Καὶ πρῶτος τῶν φιλοσόφων ἀντεῖπε πρὸς τὸν λόγον τοῦ Λυσίου τοῦ Κεφάλου, ἐκθέμενος αὐτὸν κατὰ λέξιν ἐν τῷ Φαίδρῳ· καὶ πρῶτος ἐθεώρησε τῆς Γραμματικῆς τὴν δύναμιν. Πρῶτός τε ἀντειρηκὼς σχέδον ἅπασι τοῖς πρὸ αὐτοῦ, ζητεῖται, διὰ τί μὴ ἐμνημόνευσε Δημοκρίτου. Τούτου, φησὶ[i] Νεάνθης ὁ Κυζικηνὸς,[j] εἰς Ὀλύμπια ἀνιόντος,

[m] Cod. Ar. ἄμμε.
[n] Bas. τήν.
[o] Heinsius corr. μένοντά—ἀφορμῶντα.
[p] Ald. πολλῶν.
[q] Ald. αὐτῷ—τήνῳ τῷ χρόνῳ: male.
[r] Ald. Αἴ δέ τις.
[s] Ald. Bas. κανθρωπίζειν. Cod. Cantabr. κἀνθρ. Cod. Ar. καὶ ἀνθρ.
[t] Bas. ἄμμις, ut Cod. Cant. Sed Cod. Ar. ἀμῖς.
[u] Bas. ἄμμιν χαριζῆ. Ald. ἄμμιν χαριῆ. Etiam Cod. Ar. et Cant. χαριζῆ.
[v] Ald. πολιτικώτατος.
[w] Ald. ἐνηθίσθαι.
[x] Ald. Πάμφιλος.
[y] Ald. παρακάλουν.
[z] Ἔχειν abest ab Ald.
[a] Ald. λόγος δέ: bene.
[b] Bas. χαυρίᾳ, hic, et paulo post. Cod. Cant. Χαβρίας.
[c] Ald. μηδ᾽ ἑνός.
[d] Ald. ὅτι.
[e] Bas. κώνιον.
[f] Ald. θρασίῳ, ut Cod. Ar. et Cant.
[g] Ambrosius legit ἀντίποδας.
[h] Menagius conj. ποιότητα.
[i] Ita ex Ald. rescripsimus pro φησίν.
[j] Ald. κυζηκηνός. Cod. Cant. Ὀλύμπον.

τοὺς Ἕλληνας ἅπαντας ἐπιστραφῆναι πρὸς αὐτόν· ὅτε καὶ Δίωνι συνέμιξε μέλλοντι στρατεύειν ἐπὶ Διονύσιον. Ἐν δὲ τῷ πρώτῳ τῶν Ἀπομνημονευμάτων Φαβωρίνου φέρεται, ὅτι Μιθριδάτης ὁ Πέρσης ἀνδριάντα Πλάτωνος ἀνέθετο εἰς τὴν Ἀκαδημίαν, καὶ ἐπέγραψε,[k] Μιθριδάτης ὁ Ῥοδοβάτου Πέρσης Μούσαις εἰκόνα ἀνέθετο Πλάτωνος, ἣν Σιλανίων ἐποίησε. Φησὶ δ' Ἡρακλείδης, ὅτι νέος ὢν οὕτως ἦν αἰδήμων, καὶ κόσμιος, ὥστε μηδέποτ' ὀφθῆναι γελῶν ὑπεράγαν. Τοιοῦτος δ' ὢν, ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν Κωμικῶν. Θεόπεμπτος[l] γοῦν ἐν Αὐτοχάρει φησὶν οὕτως,—ἓν γάρ ἐστιν οὐδὲ ἕν. Τὰ δὲ δύο μόλις ἕν ἐστιν, ὥς φησι Πλάτων· ἀλλὰ καὶ Ἀναξανδρίδης ἐν Θησεῖ, Ὅτε τὰς μορίας ἔτρωγεν, ὥσπερ Πλάτων·[m] ἀλλὰ καὶ Τίμων, οὑτωσὶ παραγραμματίζων αὐτὸν, Ὡς ἀνέπλασε[n] Πλάτων, πεπλασμένα θαύματα εἰδώς. Ἄλεξις Μεροπίδι, Εἰς καιρὸν ἥκεις· ὡς ἔγωγ' ἀπορουμένη, Ἄνω, κάτω τε, περιπατοῦσ', ὥσπερ Πλάτων, Σοφὸν οὐδὲν εὗρηκ', ἀλλὰ κοπιῶ τὰ σκέλη· καὶ ἐν Ἀγκυλίωνι, Λέγεις περὶ ὧν οὐκ οἶσθα, συγγενῶς τρέχων Πλάτωνι, καὶ γνώσῃ λίτρον[o] καὶ κρόμμυον. Ἄμφις Ἀμφικράτει, Τὸ δ' ἀγαθὸν ὅ, τι ποτ' ἐστὶν,[p] οὗ σὺ τυγχάνειν Μέλλεις διὰ ταύτην, ἧττον οἶδα τοῦτ' ἐγὼ, Ὦ δέσποτ', ἢ τὸ Πλάτωνος[q] ἀγαθόν. Πρόσεχε δή. Ἐν δὲ Δεξιδημίδῃ, — — — ὦ Πλάτων, Ὡς οὐδὲν οἶσθα[r] πλὴν σκυθρωπάζειν μόνον, Ὥσπερ κοχλίας, σεμνῶς[s] ἐπῃρκὼς τὰς ὀφρῦς. Κρατῖνος Ψευδυποβολιμαίῳ, Ἄνθρωπος εἶ δηλονότι, καὶ ψυχὴν ἔχεις. Κατὰ μὲν Πλάτων' οὐκ οἶδα, ὑπονοῶ δ' ἔχειν. Ἄλεξις Ὀλυμπιοδώρῳ, Σῶμα μὲν ἐμοῦ τὸ θνητὸν[t] αὖον ἐγένετο,[u] Τὸ δ' ἀθάνατον ἐξῆρε πρὸς τὸν ἀέρα. Ταῦτ' οὐ σχολὴ Πλάτωνος; Καὶ ἐν Παρασίτῳ, Ἢ μετὰ Πλάτωνος ἀδολεσχεῖν καταμόνας. Χλευάζει δ' αὐτὸν καὶ Ἀναξίλας ἐν Βοτρυλίωνι, καὶ Κίρκῃ,[v] καὶ Πλουσίαις. Ἀρίστιππος δ' ἐν τῷ τετάρτῳ περὶ Παλαιᾶς[w] Τρυφῆς φησὶν, αὐτὸν Ἀστέρος μειρακίου τινὸς, ἀστρολογεῖν συνασκουμένου, ἐρασθῆναι, ἀλλὰ καὶ Δίωνος τοῦ προειρημένου·[x] ἔνιοι καὶ

[k] Ald. ἐπέγραψεν.

[l] Sic scriptum erat etiam in Cod. Ar. Cant. Alii libri, ut Aldobr. legunt Θεόπομπος. Unde Is. Casaubonus conj. Θεόπομπος γοῦν ἐν Ἡδυχάρει, probantibus Menagio, et Fabricio B. Gr. vol. i. p. 792. Etiam infra s. 40. pro Θεόπομπος in Bas. legitur Θεόπεμπτος.

[m] Menagius corr. ὥσπερ ὁ Πλάτων.

[n] Aldobrandino reponendum ex Athenæo xi. 15. p. 505. F. videbatur ἀνέπλαττε, ut annominatio appareret magis, assentiente, præter Menagium, Kustero ad Suidan tom. ii. p. 27. Nam apud Suidan v. παραγραμματίζων verba Laertii ita leguntur, Τίμων οὕτωσὶ παραγραμματίζων αὐτὸν, Ὡς ἀνέπλασε Πλάτων πεπλασμένα ὀνόματα.

[o] Cod. Cant. λύτρον.

[p] Ald. ποτέ ἐστιν.

[q] Bas. et Cod. Ar. Cant. τὸ τοῦ Πλάτωνος.

[r] Ald. Bas. et Cod. Ar. ἦσθα. At οἶσθα legitur etiam apud Suidan, qui hos versiculos laudat v. σκυθρωπάζω.

[s] Ald. κωλιὰς σεμνός.

[t] Menagius corr. cum Grotio, Τὸ σῶμα μὲν ἐμοῦ θνητόν.

[u] Ald. ἄνθρωπος ἐγένετο.

[v] Ald. κέρκῳ.

[w] Παλαιᾶς a Bas. abest.

[x] Vid. Ælianus V. H. iv. 21.

Φαίδρου φασί. Δηλοῦν δὲ τὸν ἔρωτα αὐτοῦ τάδε τὰ ἐπιγράμματα, ἃ καὶ πρὸς αὐτοῦ γενέσθαι εἰς αὐτούς, Ἀστέρας εἰσαθρεῖς[y] *ἀστὴρ ἐμός· εἴθε γενοίμην Οὐρανὸς, ὡς πολλοῖς ὄμμασιν εἴς σε βλέπω. Καὶ ἄλλο,*[z] *Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν ἑῶος,*[a] *Νῦν δὲ θανὼν, λάμπεις ἔσπερος ἐν φθιμένοις. Εἰς δὲ τὸν Δίωνα ὧδε, Δάκρυα μὲν Ἑκάβῃ τε, καὶ Ἰλιάδεσσι*[b] *γυναιξὶ, Μοῖραι ἐπέκλωσαν δήποτε γεινομέναις.*[c] *Σοὶ δὲ, Δίων, ῥέξαντι καλῶν ἐπινίκιον ἔργων,*[d] *Δαίμονες εὐρείας ἐλπίδας ἐξέχεαν. Κεῖσαι*[e] *δ' εὐρυχόρῳ ἐν πατρίδι, τίμιος ἀστοῖς, Ὦ*[f] *ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Δίων. Τοῦτο καὶ ἐπιγεγράφθαι φασὶν ἐν Συρακούσαις ἐπὶ τῷ τάφῳ. Ἀλλὰ μὴν*[g] *καὶ Ἀλέξιδος, φασὶν, ἐρασθεὶς, καὶ Φαίδρου, καθὰ*[h] *προείρηται, τοῦτον ἐποίησε τὸν τρόπον, Νῦν ὅτε μηδὲν Ἄλεξις ὅσον μόνον εἶφ'*[i] *ὅτι καλὸς Ὤπται,*[j] *καὶ πάντη πᾶς τις ἐπιστρέφεται. Θυμὲ, τί μηνύεις κυσὶν ὀστέον; εἶτ' ἀνιήσεις*[k] *Ὕστερον. οὐχ οὕτω Φαῖδρον ἀπωλέσαμεν; Ἔχειν τε Ἀρχαιάνασσαν, εἰς ἣν καὶ αὐτὴν οὕτω ποιῆσαι, Ἀρχαιάνασσαν*[l] *ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίραν, Ἧς καὶ ἐπὶ ῥυτίδων ἔζετο δριμὺς ἔρως. Ἅ δειλοὶ, νεότητος ἀπαντήσαντες ἐκείνης Πρωτοπλόου, δι' ὅσης ἤλθετε πυρκαϊῆς. Ἀλλὰ καὶ εἰς Ἀγάθωνα, Τὴν ψυχὴν,*[m] *Ἀγάθωνα φιλῶν, ἐπὶ χείλεσιν εἶχον. Ἦλθε γὰρ ἡ τλήμων, ὡς διαβησομένη.*[n] *Καὶ ἄλλο, Τῷ μήλῳ βάλλω σε· σὺ δ' εἰ μὲν ἑκοῦσα φιλεῖς με, Δεξαμένη,*[o] *τῆς σῆς παρθενίης μετάδος· Εἰ δ' ἄρ', ὃ μὴ γίνοιτο,*[p] *νοεῖς, τοῦτ' αὐτὸ λαβοῦσα, Σκέψαι τὴν ὥρην, ὡς ὀλιγοχρόνιος. Μῆλον ἐγὼ, βάλλει*[q] *με φιλῶν σέ τις· ἀλλ' ἐπίνευσον, Ξαν-*

[y] Alii libri habent εἰσάθρει, ut edidit Stephanus in Anthol. p. 210. De utroque hoc Epigrammate Platonis in Asterem v. Victorius Lect. Var. xx. 17.

[z] Verba καὶ ἄλλο ab Ald. absunt. Etiam in Anthol. p. 210. Steph. hæc duo Epigrammata, ut unum, leguntur.

[a] Ald. ἑῶος.

[b] Bas. ἰλιάδισσι.

[c] Ald. γινομέναις.

[d] Ald. ἔργον. Etiam in Anthol. p. 286. legitur καλὸν—ἔργον—ἐνὶ πατρίδι.

[e] Ald. Καῖσαι.

[f] Bas. Ὦ. Ald. ᾧ.

[g] Μὴν a Bas. abest, ut a Cod. Ar. et Cant.

[h] Ald. κατά.

[i] Cod. Cant. εἶθ'.

[j] Alii libri habent Ὦ παῖ. Et in Anthol. p. 289. legitur v. 2. ut in Ald. πάντη πᾶσι περιβλέπεται. Unde Jos. Scaliger conj. πάντη πᾶσιν ἐπιστρέφεται.

[k] Is. Casaubonus corr. cum Stephano, ἀνιήσῃ. Cæterum Lambecius Commentar. de bibl. Cæsar. lib. vii. p. 129. hoc epigramma Latine ita vertit, *Hoc tantum dixi: visus mihi pulcher Alexis; Undique nunc in se lumina amore trahit. Quare os ostendis canibus mens læva? dolebis Postea; nam Phædrum nonne ita perdidimus?*

[l] Epigramma hoc legitur apud Athen. xiii. 6. p. 589. D. et in Anthol. p. 232. sed lectio valde variat, et auctor ejus in Anthologia dicitur esse Asclepiades. Ald. legit Ἀρχειάνασσαν, hic, et paulo post, etiam δρυμύς. Cod. Cant. Εὖ δειλοί. Apud Suidan v. ῥυτὶς extat distichon primum, sic, Ἀρχεάνασσαν—ὁ γλυκὺς ἔζετ' ἔρως.

[m] Hoc distichon laudatur a Gellio xix. 11. sed pro εἶχον in libris ejus legitur ἔσχον. Extat etiam in Anthol. p. 526. v. Bern. Martinus Lect. Var. iv. 7.

[n] Cod. Cant. διαβλησομένη.

[o] Cod. Cant. Εὐξαμένη.

[p] Ald. γένοιτο.

[q] Mer. Casaubonus corr. βάλλοι.

θίππη, κἀγὼ καὶ σὺ μαραινόμεθα. Φασὶ δὲ καὶ τὸ εἰς τοὺς Ἐρετριέας τοὺς σαγηνευθέντας αὐτοῦ εἶναι, Εὐβοίης γένος ἦμεν Ἐρετρικὸν, ἄγχι δὲ Σούσων Κείμεθα· φεῦ γαίης τόσσον ἀφ' ἡμετέρης· κἀκεῖνο, Ἃ Κύπρις Μούσαισι, Κοράσια[r] τὰν Ἀφροδίταν Τιμᾶτ', ἢ τὸν Ἔρωτ' ὕμμιν[s] ἐφοπλίσομαι. Αἱ[t] Μοῦσαι ποτὶ Κύπριν, Ἄρει τὰ στωμύλα ταῦτα· Ἡμῖν οὐ πέταται[u] τοῦτο τὸ παιδάριον. Καὶ ἄλλο, Χρυσὸν[v] ἀνὴρ εὑρὼν, ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν, Ὃν λίπεν, οὐχ εὑρὼν, ἦψεν, ὃν εὗρε, βρόχον. Ἀλλά τοι Μόλων[w] ἀπεχθῶς ἔχων πρὸς αὐτὸν, Οὐ τοῦτο, φησὶ, θαυμαστὸν, εἰ Διονύσιος ἐν Κορίνθῳ, ἀλλ' εἰ Πλάτων ἐν Σικελίᾳ. Ἔοικε δὲ καὶ Ξενοφῶν πρὸς αὐτὸν ἔχειν οὐκ εὐμενῶς. Ὥσπερ γοῦν διαφιλονεικοῦντες,[x] τὰ ὅμοια γεγράφασι, Συμπόσιον, Σωκράτους Ἀπολογίαν, τὰ Ἠθικὰ Ἀπομνημονεύματα· εἶθ' ὁ μὲν Πολιτείαν· ὁ δὲ Κύρου παιδείαν. Καὶ ἐν τοῖς Νόμοις ὁ Πλάτων πλάσμα φησὶν εἶναι τὴν παιδείαν αὐτοῦ· μὴ γὰρ εἶναι Κῦρον τοιοῦτον. Ἀμφότεροί τε Σωκράτους μνημονεύοντες, ἀλλήλων οὐδαμοῦ, πλὴν Ξενοφῶν Πλάτωνος ἐν τρίτῳ τῶν Ἀπομνημονευμάτων. Λέγεται δ', ὅτι καὶ Ἀντισθένης μέλλων ἀναγινώσκειν τι τῶν γεγραμμένων αὐτῷ, παρεκάλεσεν αὐτὸν παρατυχεῖν· καὶ πυθόμενος, τί μέλλει ἀναγινώσκειν, εἶπεν, ὅτι Περὶ τοῦ μὴ εἶναι ἀντιλέγειν. Τοῦ δ' εἰπόντος, Πῶς οὖν σὺ περὶ αὐτοῦ τούτου γράφεις; Καὶ διδάσκοντος, ὅτι περιτρέπεται, ἔγραψε διάλογον κατὰ Πλάτωνος, Σάθωνα[y] ἐπιγράψας, ἐξ οὗ διετέλουν ἀλλοτρίως ἔχοντες πρὸς ἀλλήλους. Φασὶ δὲ, καὶ Σωκράτην ἀκούσαντα τὸν Λύσιν ἀναγινώσκοντος Πλάτωνος, Ἡράκλεις, εἰπεῖν, ὡς πολλά μου κατεψεύδεθ'[z] ὁ νεανίσκος· οὐκ ὀλίγα γὰρ, ὧν οὐκ εἴρηκε Σωκράτης, γέγραφεν ἀνήρ. Εἶχε δὲ φιλέχθρως ὁ Πλάτων καὶ πρὸς Ἀρίστιππον. Ἐν γοῦν τῷ περὶ Ψυχῆς διαβάλλων αὐτὸν φησὶν, ὅτι οὐ παρεγένετο Σωκράτει τελευτῶντι, ἀλλ' ἐν Αἰγίνῃ ἦν, καὶ σύνεγγυς. Καὶ πρὸς Αἰσχίνην δέ τινα φιλοτιμίαν εἶχε. Φασὶ δ', ὅτι δή περ[a] καὶ αὐτὸς εὐδοκίμει παρὰ Διονυσίῳ· ὃν ἐλθόντα δι' ἀπορίαν, ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δ' Ἀριστίππου συσταθῆναι. Τούς τε λόγους, οὓς Κρίτωνι περιτέθεικεν, ἐν τῷ δεσμωτηρίῳ περὶ τῆς φυγῆς συμβουλεύοντι, φησὶν Ἰδομενεὺς[b] εἶναι Αἰσχίνου· τὸν δ' ἐκείνῳ περιθεῖναι διὰ τὴν πρὸς τοῦτον δυσμένειαν. Αὐτοῦ[c] δὲ Πλάτων οὐδαμόθι τῶν ἑαυτοῦ συγγραμμάτων μνήμην πεποί-

[r] Ald. κοράσσια.
[s] Ald. ἔρον ὕμμιν.
[t] Ald. Καί.
[u] Ald. Ἀμῖν δ' οὐ πέτεται.
[v] Hoc Epigramma legitur in Anthol. p. 116. sed lectio variat valde. Ald. ὃ χρυσόν.
[w] Cod. Cantabr. ἀλλὰ Τιμολέων.
[x] Bas. διαφειλονικοῦντες.
[y] Cod. Cantabr. Θάσωνα: male. vid. Athen. xi. 15. p. 507. A.
[z] Ald. καταψεύδεθ'.
[a] Bas. ὅτι περ. Ald. ὅτε περ.
[b] Ald. ἰδομενούς.
[c] Bas. ἑαυτοῦ: male. Ald. αὐτοῦ τε.

ηται, ὅτι μὴ ἐν τῷ περὶ Ψυχῆς, καὶ Ἀπολογίᾳ. Φησὶ δ' Ἀριστοτέλης, τὴν τῶν λόγων ἰδέαν αὐτοῦ μεταξὺ ποιήματος εἶναι, καὶ πεζοῦ λόγου. Τοῦτον μόνον παραμεῖναι Πλάτωνι Φαβωρῖνος που φησὶν ἀναγινώσκοντι τὸν περὶ Ψυχῆς,[d] τοὺς δ' ἄλλους ἀναστῆναι πάντας. Ἔνιοί τε φασὶν, ὅτι Φίλιππος ὁ Ὀπούντιος τοὺς Νόμους αὐτοῦ μετέγραψεν ὄντας ἐν κηρῷ. Τούτου δὲ καὶ τὴν Ἐπινομίδα φασὶν εἶναι.[e] Εὔφορίων δὲ καὶ Παναίτιος εἰρήκασι, πολλάκις ἐστραμμένην εὑρῆσθαι[f] τὴν ἀρχὴν τῆς Πολιτείας, ἣν Πολιτείαν Ἀρίστοξενός φησι πᾶσαν σχεδὸν ἐν τοῖς Πρωταγόρου γεγράφθαι Ἀντιλογικοῖς· λόγον δὲ πρῶτον γράψαι αὐτὸν τὸν Φαῖδρον. Καὶ γὰρ ἔχει μειρακιῶδές τι[g] τὸ πρόβλημα. Δικαίαρχος δὲ καὶ τὸν τρόπον τῆς γραφῆς ὅλον ἐπιμέμφεται, ὡς φορτικόν. Ὁ γοῦν Πλάτων λέγεται, θεασάμενός τινα κυβεύοντα, αἰτιάσασθαι[h] τοῦ δὲ εἰπόντος, ὡς ἐπὶ μικροῖς· Ἀλλὰ τό γε ἔθος, εἶπεν, οὐ μικρόν. Ἐρωτηθεὶς, εἰ ἀπομνημόνευμά τι αὐτοῦ[i] ἔσται, ὥσπερ τῶν πρότερον, ἀπεκρίνατο, Ὀνόματος δεῖ τυχεῖν πρῶτον, εἶτα πολλὰ ἔσται. Εἰσελθόντος ποτὲ Ξενοκράτους, εἶπε μαστιγῶσαι[j] τὸν παῖδα· αὐτὸν γὰρ μὴ δύνασθαι, διὰ τὸ ὠργίσθαι.[k] Ἀλλὰ καὶ πρός τινα τῶν παίδων, Μεμαστίγωσο ἄν, εἰ μὴ ὠργιζόμην.[l] Ἐφ' ἵππου καθίσας, εὐθέως κατέβη, φήσας εὐλαβεῖσθαι, μὴ ἱπποτυφία ληφθῇ. Τοῖς μεθύουσι συνεβούλευε κατοπτρίζεσθαι· ἀποστήσεσθαι γὰρ τῆς τοιαύτης ἀσχημοσύνης. Πίνειν δ' εἰς μέθην οὐδαμοῦ πρέπον ἔλεγε, πλὴν ἐν ταῖς ἑορταῖς τοῦ καὶ τὸν οἶνον δόντος θεοῦ.[m] Καὶ τὸ πολλὰ δὲ καθεύδειν ἀπήρεσκεν αὐτῷ. Ἐν γοῦν τοῖς Νόμοις φησὶ, Κοιμώμενος δὲ οὐδενὸς ἄξιος· εἶναι δὲ ἥδιστον[n] τῶν ἀκουσμάτων τὴν ἀλήθειαν· οἱ δὲ, τὸ λέγειν τἀληθῆ. Καὶ περὶ ἀληθείας δ' ἐν τοῖς Νόμοις φησὶν οὕτως, Καλὸν μὲν ἡ ἀληθεία, ὦ ξένε, καὶ μόνιμον· ἔοικε δὲ οὐ ῥᾴδιον πείθειν. Ἀλλὰ καὶ ἠξίου μνημόσυνον αὐτοῦ λείπεσθαι, ἢ ἐν φίλοις, ἢ ἐν βίβλοις.[o] Ἐξετόπιζε δὲ καὶ αὐτὸς τὰ πλεῖστα, καθά τινες φασί. Καὶ ἐτελεύτα μὲν, ὃν εἴπομεν τρόπον, Φιλίππου βασιλεύοντος ἔτος τρισκαιδέκατον, καθὰ καὶ Φαβωρῖνος φησὶν ἐν[p] Ἀπομνημονευμάτων τρίτῳ· ὑφ' οὗ καὶ ἐπιτιμηθῆναι φησὶν αὐτὸν Θεόπομπος.[q] Μυρωνιανὸς[r] δ' ἐν Ὁμοίοις φησὶ, Φίλωνα παροιμίας μνημονεύειν περὶ τῶν Πλάτωνος φθειρῶν, ὡς οὕτως αὐτοῦ τελευτήσαν-

[d] Ald. τὸν περὶ ψυχῆς λόγον.
[e] Vid. Suidas v. φιλόσοφος, et ibi Kusterus tom. iii. p. 610.
[f] Cod. Cant. εὑρεθῆναι.
[g] Ald. τι μειρακιῶδες.
[h] Cod. Cantabr. αἰτιᾶσθαι.
[i] Ald. ἀπομνημονεύματα αὐτοῦ.
[j] Ald. Bas. εἶπε, μαστίγωσαι.
[k] Ald. Bas. ὀργίζεσθαι.
[l] Ald. Bas. ὀργιζόμην. f. ὀργιζοίμην. Etiam pro μεμαστίγωσο leg. μεμαστιγῷο.
[m] Ald. ἐν ταῖς τοῦ καὶ—θεοῦ ἑορταῖς.
[n] Bas. εἶναί τε ἥδιον. Cod. Cant. ἴδιον.
[o] Ald. βιβλίοις.
[p] Ἐν ab Ald. et Bas. abest.
[q] Bas. θεόπεμπτος.
[r] Bas. μυρονιανός.

τος. Καὶ ἐτάφη ἐν τῇ Ἀκαδημίᾳ, ἔνθα τὸν πλεῖστον χρόνον διετέλεσε φιλοσοφῶν· ὅθεν καὶ Ἀκαδημαϊκὴ προσηγορεύθη ἡ ἀπ' αὐτοῦ αἵρεσις. Καὶ παρεπέμφθη πανδημεὶ πρὸς τῶν αὐτόθι, διαθέμενος τοῦτον τὸν τρόπον. Τάδε κατέλιπε Πλάτων, καὶ διέθετο· Τὸ ἐν Ἡφαιστιάδων[s] χωρίον, ᾧ γείτων βορρᾶθεν ἡ ὁδὸς ἡ ἐκ τοῦ Κηφισιάσιν[t] ἱεροῦ, νότοθεν τὸ Ἡράκλειον τὸ ἐν Ἡφαιστιάδων, πρὸς ἡλίου δὲ ἀνιόντος Ἀρχέστρατος Φρεάριος,[u] πρὸς ἡλίου δὲ δυομένου Φίλιππος Χολιδεύς.[v] Καὶ μὴ ἐξέστω τοῦτο μηδενὶ, μήτε ἀποδόσθαι, μήτε ἀλλάξασθαι, ἀλλ' ἔστω Ἀδειμάντου τοῦ παιδίου εἰς τὸ δυνατόν. Καὶ τὸ ἐν Ἐρισιάδων[w] χωρίον, ὃ παρὰ Καλλιμάχου ἐπριάμην, ᾧ γείτων βορρᾶθεν Εὐρυμέδων Μυρρινούσιος, νότοθεν δὲ Δημόστρατος Ξυπετέρων,[x] πρὸς ἡλίου ἀνιόντος Εὐρυμέδων Μυρρινούσιος, πρὸς ἡλίου δυομένου Κηφισσός. Ἀργυρίου μνᾶς τρεῖς· φιάλην ἀργυρᾶν, ἔλκουσαν ρξε'· κυμβεῖον ἄγον μέ· δακτύλιον χρυσοῦν, καὶ ἐνώτιον[y] χρυσοῦν, ἄγοντα συνάμφω[z] δ' δραχμὰς, ὀβολοὺς[a] τρεῖς. Εὐκλείδης ὁ λιθοτόμος ὀφείλει μοι τρεῖς μνᾶς. Ἄρτεμιν ἀφίημι ἐλευθέραν. Οἰκέτας καταλείπω, Τύχωνα, Βίκταν, Ἀπολλωνιάδην, Διονύσιον.[b] Σκεύη τὰ γεγραμμένα, ὧν ἔχει τὰ ἀντίγραφα Δημήτριος. Ὀφείλω δ' οὐδενὶ οὐθέν.[c] Ἐπίτροποι δὲ, Σωσθένης, Σπεύσιππος, Δημήτριος, Ἡγίας,[d] Εὐρυμέδων, Καλλίμαχος, Θράσιππος. Καὶ διέθετο μὲν οὕτως. Ἐπεγράφη δ' αὐτῷ[e] Ἐπιγράμματα τάδε. Πρῶτον, Σωφροσύνῃ προφέρων θνητῶν, ἤθει τε δικαίῳ, Ἐνθάδε[f] δὴ κεῖται δῖος Ἀριστοκλέης. Εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον, Τοῦτον ἔχει πλεῖστον, καὶ φθόνος οὐχ ἕπεται. Ἕτερον δὲ,[g] Γαῖα μὲν ἐν κόλπῳ[h] κρύπτει τόδε σῶμα Πλάτωνος, Ψυχὴ δ' ἀθανάτων τάξιν ἔχει μακάρων, Υἱοῦ Ἀρίσ-

[s] Ita rescripsimus ex Ald. Bas. et Cod. reg. Paris. et Cantabr. Nam in Meibom. est τὸ Ἐνιφιστιάδων. Alii leg. τὸ Ἐνερεσιάδων. Ald. βοράθεν, hic, et paulo post.

[t] Menagius corr. Κηφησιάδων, vel Κηφησιέων.

[u] Is. Casaubonus leg. Φρεάῤῥιος, e Steph. Byz. At v. Meursius de Pop. Atticæ v. Φρέαροι, et Menagius ad h. l.

[v] Is. Casaubonus et Menagius leg. Χολλιδεὺς, e Stephano Byz. v. Χολλίδαι.

[w] Is. Casaubonus e Stephano Byz. leg. ἐν Ἐροιάδων: recte. Ald. Bas. μυρινούσιος, bis. Ald. νότος δέ.

[x] Is. Casaubonus leg. Ξυπετεών: recte. v. Meursius d. l. v. Ξυπετὴ, et Menagius ad h. l.

[y] Vid. Piersonus ad Mœrin. v. Ἐνώτια p. 146.

[z] Bas. σὺν ἄμφω.

[a] Ald. ἔλκουσαν ἑκατὸν ἑξήκοντα πέντε—ἄγον τεσσαράκοντα πέντε—τέσσαρας —δραχμάς. ὀβολὰς —.

[b] At Seneca ad Helv. c. 12. 'Unum fuisse Homero servum, tres Platoni— satis constat.' Pro Βίκταν Menagius legendum putabat Βιθίαν, aut potius Βιτίαν.

[c] Ald. οὐδὲν οὐθενί.

[d] Cod. Cant. Ἡγησίας.

[e] Ald. αὐτοῦ τῷ τάφῳ.

[f] In Anthol. p. 191. Steph. legitur v. 2. Ἐνθάδε κεῖται ἀνὴρ θεῖος, ut in Cod. Cæsar. apud Lambecium Commentar. biblioth. Cæsar. lib. vii. p. 128. v. 4. Οὗτος ἔχει πουλὺν, καὶ φθόνον οὐ φέρεται. Ald. Οὗτος ἔχει πλεῖστον, ut Cod. Cæsar. apud Lambecium d. l.

[g] Δὲ a Bas. abest.

[h] In Anthol. p. 288. legitur:—ἐν κόλποις—: ut in Cod. Cæsar. apud Lambecium d. l.

τωνος, τόν τις καὶ τηλίθι ναίων Τιμᾷ ἀνὴρ ἀγαθὸς θεῖον ἰδόντα βίον. Καὶ ἄλλο δὲ[i] νεώτερον,[j] Αἰετὲ, τίπτε βέβηκας ὑπὲρ τάφον; ἢ τίνος, εἰπὲ, Ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις; Ψυχῆς εἰμὶ Πλάτωνος ἀποπταμένης ἐς[k] Ὄλυμπον Εἰκὼν, σῶμα δὲ τοῦ γηγενὲς Ἀτθὶς ἔχει. Ἔστι καὶ ἡμέτερον οὕτως ἔχον,[l] Καὶ πῶς, εἰ μὴ Φοῖβος ἀν' Ἑλλάδα φῦσε Πλάτωνα, Ψυχὰς ἀνθρώπων γράμμασιν ἡκέσατο; Καὶ γὰρ ὁ τοῦδε γεγὼς Ἀσκληπιός ἐστιν ἰητὴρ Σώματος, ὡς ψυχῆς ἀθανάτοιο Πλάτων. Καὶ ἄλλο, ὡς ἐτελεύτα, Φοῖβος ἔφυσε βροτοῖς Ἀσκληπιὸν, ἠδὲ Πλάτωνα· Τὸν μὲν, ἵνα ψυχὴν, τὸν δ', ἵνα σῶμα, σάοι.[m] Δαισάμενος δὲ γάμον, πόλιν ἦλυθεν, ἣν ποτε αὐτῷ[n] Ἔκτισε, καὶ δαπέδῳ Ζηνὸς ἐνιδρύσατο. Καὶ τὰ μὲν Ἐπιγράμματα ταῦτα. Μαθηταὶ δ' αὐτοῦ, Σπεύσιππος Ἀθηναῖος, Ξενοκράτης Χαλκηδόνιος, Ἀριστοτέλης Σταγειρίτης, Φίλιππος ὁ Ὀπούντιος, Ἑστιαῖος[o] Περίνθιος, Δίων Συρακούσιος, Ἄμυκλος Ἡρακλεώτης, Ἔραστος,[p] καὶ Κορίσκος, Σκήψιοι, Τιμόλαος Κυζικηνὸς, Εὐαίων[q] Λαμψακηνὸς,[r] Πίθων,[s] καὶ Ἡρακλείδης, Αἴνιοι, Ἱπποθαλῆς, καὶ Κάλλιππος,[t] Ἀθηναῖοι, Δημήτριος Ἀμφιπολίτης, Ἡρακλείδης Ποντικὸς, καὶ ἄλλοι πλείους· σὺν οἷς καὶ γυναῖκες δύο, Λασθένεια Μαντινικὴ,[u] καὶ Ἀξιοθέα Φλιασία, ἣ καὶ ἀνδρεῖα ἠμπίσχετο,[v] ὥς φησι Δικαίαρχος. Ἔνιοι δὲ καὶ Θεόφραστον ἀκοῦσαι φασὶν αὐτοῦ· καὶ Ὑπερίδην τὸν ῥήτορα Χαμαιλέων φησὶ, καὶ Λυκοῦργον· ὁμοίως Πολέμων ἱστορεῖ καὶ Δημοσθένην. Σαβῖνος λέγει καὶ Μνησίστρατον Θάσιον, παρατιθέμενος[w] ἐν δ' Μελετητικῆς[x] Ὕλης· καὶ εἰκός ἐστι. Φιλοπλάτωνι δέ σοι δικαίως ὑπαρχούσῃ, καὶ παρ' ὀντινοῦν τὰ τοῦ φιλοσόφου δόγματα φιλοτίμως ζητούσῃ, ἀναγκαῖον ἡγησάμην ὑπογράψαι, καὶ τὴν φύσιν τῶν λόγων, καὶ τὴν τάξιν τῶν διαλόγων, καὶ τὴν ἔφοδον τῆς ἐπαγωγῆς,[y] ὡς οἷόν τε στοιχειωδῶς, καὶ ἐπὶ κεφαλαίων, πρὸς τὸ μὴ ἀμοιρεῖν αὐτοῦ τῶν δογμάτων τὴν περὶ τοῦ βίου συναγωγήν. Γλαῦκα γὰρ εἰς Ἀθήνας, φασὶν, εἰ δέῃ σοι τὰ κατ' εἶδος διηγεῖσθαι.

[i] Δὲ abest ab Ald. Bas.

[j] Extat in Anthol. d. l. sed legitur ibi v. 4. σῶμα δὲ γῆ γηγενές. Cod. Cant. σῶμα δὲ δὴ γηγενές.

[k] Bas. et Meibom. εἰς: male.

[l] Hoc, et sequens, epigramma legitur in Anthol. p. 283.

[m] Hic versiculus laudatur a Suida v. σάου.

[n] Anthol. ἣν ποθ' ἑαυτῷ. Ald. ἣν ποτε αὐτῷ. Et αὐτῷ quidem etiam Casaubono placebat.

[o] Ald. Ἑστιαῖος. Bas. ἡστιαῖος.

[p] Cod. Cant. Ἔρασκος. Ald. κουρίσκος.

[q] Cod. Arund. Εὐάνων.

[r] Ald. λαψακηνός.

[s] Ald. Bas. Πείδων.

[t] Ald. Bas. κάλλιππος.

[u] Is. Casaubonus et Menagius legi malebant Μαντινίς: sine caussa idonea. Nam et lib. iv. 1. legitur Λασθενία ἡ Μαντινικὴ, et apud Plat. Sympos. 22. et 29. Diotima vocatur Μαντινική.

[v] Ald. ἀνδρία—ἠμπίσχετο.

[w] Is. Casaubonus conj. ὃ καὶ Σαβῖνος λέγει, Μνησίστρατον Θάσιον παρατ.

[x] Ald. Bas. μελετικῆς.

[y] Pro ἐπαγωγῆς Is. Casaubonus reponi jubebat ἀγωγῆς. At ἐπαγωγῆς legitur etiam apud Suidan, qui v. ἐπαγωγὴ laudat verba ἀναγκαῖον—τῆς ἐπαγωγῆς.

Διαλόγους τοίνυν φασὶ πρῶτον γράψαι Ζήνωνα τὸν Ἐλεάτην· Ἀριστοτέλης δὲ ἐν πρώτῳ περὶ Ποιητῶν[z] Ἀλεξαμενὸν Στυρέα, ἢ Τήϊον, ὡς καὶ Φαβωρῖνος ἐν Ἀπομνημονεύμασι. Δοκεῖ δέ μοι Πλάτων, ἀκριβώσας τὸ εἶδος, καὶ τὰ πρωτεῖα δικαίως ἂν, ὥσπερ τοῦ κάλλους,[a] οὕτω καὶ τῆς εὑρέσεως, ἀποφέρεσθαι. Ἔστι δὲ διάλογος λόγος[b] ἐξ ἐρωτήσεως, καὶ ἀποκρίσεως, συγκείμενος περί τινος τῶν φιλοσοφουμένων[c] καὶ πολιτικῶν, μετὰ τῆς πρεπούσης ἠθοποιΐας τῶν παραλαμβανομένων προσώπων, καὶ τῆς κατὰ τὴν λέξιν κατασκευῆς. Διαλεκτικὴ δέ ἐστι τέχνη λόγων, δι' ἧς ἀνασκευάζομεν τὶ, ἢ κατασκευάζομεν, ἐξ ἐρωτήσεως, καὶ ἀποκρίσεως, τῶν προσδιαλεγομένων. Τοῦ δὲ[d] λόγου τοῦ Πλατωνικοῦ δύο εἰσὶν ἀνωτάτω χαρακτῆρες· ὅ, τε ὑφηγητικὸς, καὶ ὁ ζητητικός. Διαιρεῖται δ' ὁ ὑφηγητικὸς εἰς δύο ἄλλους[e] χαρακτῆρας· θεωρηματικόν[f] τε, καὶ πρακτικόν· καὶ τῶν, ὁ μὲν θεωρηματικὸς[g] εἰς τὸν φυσικὸν, καὶ λογικόν· ὁ δὲ πρακτικὸς, εἰς τὸν ἠθικὸν, καὶ πολιτικόν. Τοῦ δὲ ζητητικοῦ καὶ αὐτοῦ δύο εἰσὶν οἱ πρῶτοι χαρακτῆρες· ὅ, τε γυμναστικὸς, καὶ ὁ[h] ἀγωνιστικός. Καὶ τοῦ μὲν γυμναστικοῦ,[i] μαιευτικός τε, καὶ πειραστικός· τοῦ δὲ ἀγωνιστικοῦ, ἐνδεικτικὸς καὶ ἀνατρεπτικός. Οὐ λανθάνει δ' ἡμᾶς, ὅτι τινὲς ἄλλως διαφέρειν τοὺς διαλόγους φασί. Λέγουσι γὰρ αὐτῶν τοὺς μὲν δραματικοὺς, τοὺς δὲ διηγηματικοὺς, τοὺς δὲ μικτούς. Ἀλλ' ἐκεῖνοι μὲν τραγικῶς μᾶλλον, ἢ φιλοσόφως, τὴν διαφορὰν τῶν διαλόγων προσωνόμασαν. Εἰσὶ δὲ τοῦ μὲν φυσικοῦ, οἷον ὁ Τίμαιος· τοῦ δὲ λογικοῦ, ὅ, τε Πολιτικὸς, καὶ ὁ Κρατύλος, καὶ Παρμενίδης, καὶ Σοφιστής· τοῦ δ' ἠθικοῦ, ἥ, τε Ἀπολογία, καὶ ὁ Κρίτων, καὶ Φαίδων, καὶ Φαῖδρος, καὶ τὸ Συμπόσιον, Μενέξενός τε, καὶ Κλειτοφῶν, καὶ Ἐπιστολαὶ, καὶ Φίληβος,[j] Ἵππαρχος, Ἀντερασταί· τοῦ δὲ πολιτικοῦ, ἥ, τε Πολιτεία, καὶ οἱ Νόμοι, καὶ ὁ Μίνως, καὶ Ἐπινομὶς, καὶ ὁ Ἀτλαντικός· τοῦ δὲ μαιευτικοῦ, Ἀλκιβιάδαι,[k] Θεάγης, Λύσις, Λάχης· τοῦ δὲ πειραστικοῦ, Εὐθύφρων, Μένων, Ἴων, Χαρμίδης, Θεαίτητος· τοῦ δὲ ἐνδεικτικοῦ, ὡς ὁ Πρωταγόρας· καὶ τοῦ ἀνατρεπτικοῦ, Εὐθύδημος, Ἱππίαι δύο, Γοργίας. Καὶ περὶ μὲν διαλόγου, τί ποτέ ἐστι, καὶ τίνες αὐτοῦ διαφοραὶ, ἀπόχρη λέγειν. Ἐπεὶ δὲ πολλὴ στάσις ἐστὶ, καὶ οἱ μὲν φασὶν αὐτὸν δογματίζειν, οἱ δ' οὔ· φέρε, καὶ περὶ τούτων διαλάβωμεν. Αὐτὸ τοίνυν τὸ δογματίζειν[l] ἐστὶ δόγμα τιθέναι, ὡς τὸ νομο-

[z] Vid. Athen. xi. 15. p. 505. C.
[a] Ald. Bas. καλοῦ.
[b] Λόγος abest ab Ald. Bas.
[c] Bas. φιλοσοφομένων.
[d] Ald. δή.
[e] Ald. ἄλλους δύο.
[f] Ald. θεωρητικόν.
[g] Ald. θεωρητικός.
[h] Ὁ abest ab Ald. Bas. Meib.
[i] Cod. Arund. γυμναστιαστικοῦ.
[j] Ald. καὶ φίληβος, καὶ ἐπιστολαί.
[k] Bas. Ἀλκιβιάδης. Sed jam Ald. edidit Ἀλκιβιάδαι, ut scriptum erat in Cod. Sambuci et reg. Paris.

θετεῖν, νόμους τιθέναι. Δόγμα[m] δὲ[n] ἑκατέρως καλεῖται, τό, τε δοξαζόμενον, καὶ ἡ δόξα αὐτή. Τούτων δὲ τὸ μὲν δοξαζόμενον, πρότασίς ἐστιν· ἡ δὲ δόξα, ὑπόληψις. Ὁ τοίνυν Πλάτων, περὶ μὲν ὧν κατείληφεν, ἀποφαίνεται, τὰ δὲ ψευδῆ διελέγχει, περὶ δὲ τῶν ἀδήλων ἐπέχει. Καὶ περὶ μὲν τῶν αὐτῷ[o] δοκούντων ἀποφαίνεται διὰ τεττάρων προσώπων, Σωκράτους, Τιμαίου, τοῦ Ἀθηναίου ξένου,[p] τοῦ Ἐλεάτου ξένου. Εἰσὶ δ' οἱ ξένοι οὐχ, ὥς τινες ὑπέλαβον, Πλάτων, καὶ Παρμενίδης, ἀλλὰ πλάσματά εἰσιν[q] ἀνώνυμα. Ἐπεὶ καὶ τὰ Σωκράτους, καὶ τὰ Τιμαίου, λέγων Πλάτων δογματίζει· περὶ δὲ τῶν ψευδῶν ἐλεγχομένους εἰσάγει, οἷον Θρασύμαχον, καὶ Καλλικλέα, καὶ Πῶλον, Γοργίαν τε, καὶ Πρωταγόραν· ἔτι δ' Ἱππίαν, καὶ Εὐθύδημον, καὶ δὴ καὶ τοὺς ὁμοίους. Ποιούμενος δὴ τὰς ἀποδείξεις πλείστῳ χρῆται τῷ τῆς ἐπαγωγῆς τρόπῳ, οὐ μὴν μονοτρόπως,[r] ἀλλὰ διχῇ. Ἔστι μὲν γὰρ ἐπαγωγὴ[s] λόγος διά τινων ἀληθῶν τὸ ὅμοιον ἑαυτῷ ἀληθὲς οἰκείως ἐπιφέρων. Δύο δὲ τῆς ἐπαγωγῆς εἰσὶ[t] τρόποι, ὅ, τε κατ' ἐναντίωσιν, καὶ ὁ ἐκ τῆς ἀκολουθίας. Ὁ μὲν οὖν κατ' ἐναντίωσιν ἐστὶν, ἐξ οὗ τῷ ἐρωτωμένῳ περὶ πᾶσαν ἀπόκρισιν ἀκολουθήσει[u] τὸ ἐναντίον· οἷον, Ὁ ἐμὸς πατὴρ τῷ σῷ πατρὶ,[v] ἤτοι ἕτερός ἐστιν, ἢ ὁ αὐτός· εἰ μὲν οὖν ἕτερός ἐστι τοῦ ἐμοῦ πατρὸς ὁ σὸς πατὴρ, πατρὸς ἕτερος ὤν, οὐκ ἂν εἴη πατήρ· εἰ δὲ ὁ αὐτός ἐστι τῷ ἐμῷ πατρὶ, ὁ αὐτὸς ὢν τῷ ἐμῷ πατρὶ, ὁ ἐμὸς ἂν εἴη πατήρ.[w] Καὶ πάλιν, Εἰ μή ἐστι ζῶον ὁ ἄνθρωπος, λίθος ἂν εἴη, ἢ ξύλον· οὐκ ἔστι δὲ λίθος, ἢ ξύλον· ἔμψυχον γάρ ἐστι, καὶ ἐξ αὐτοῦ κινεῖται· ζῶον ἄρα ἐστίν· εἰ δὲ ζῶόν ἐστι, ζῶον δὲ καὶ κύων, καὶ βοῦς, εἴη ἂν καὶ ὁ ἄνθρωπος ζῶον, καὶ κύων, καὶ βοῦς. Καὶ[x] οὗτος μὲν ὁ τῆς ἐπαγωγῆς κατ' ἐναντίωσιν, καὶ μάχην, τρόπος, ᾧ ἐχρῆτο, οὐ πρὸς τὸ δογματίζειν,

[l] Leguntur hæc verba apud Suidan v. δογματίζει· sed pro δόγμα libri ejus habent τὸ δόξαν.

[m] Ald. δόγματα δὲ, ut Cod. Arund.

[n] Etiam hæc verba descripsit Suidas v. δόγματα ἑκατέρως καλεῖται· sed nonnulla in libris ejus aliter leguntur.

[o] Ald. αὐτῷ.

[p] Cod. reg. Paris. τοῦ Ἀθηνοξένου.

[q] Bas. ἐστίν. recte.

[r] Ald. Bas. μονοτρόπῳ.

[s] Legitur hæc ῥῆσις, inde a verbis ἐπαγωγή ἐστι λόγος usque ad verba ἐκ τοῦ μικροτέρου, καὶ ἀνάπαλιν s. 55. apud Suidan v. ἐπαγωγή. Sed libri ejus habent τὸ ὅμοιον αὑτῷ — ἐστιν τοῦ ἐμοῦ — τῷ ἐμῷ πατρὶ, ὁ ἐμὸς ἂν εἴη πατήρ. — ζῷόν ἐστιν—ἔμψυχος—ἐξ αὐτοῦ (ut Ald. Bas.)—ζῶον οὖν ἐστιν.—καὶ ὁ κύων, καὶ ὁ βοῦς (ut Ald. Bas.)—καὶ μάχην τρόπος ὁ διελέγχων. Ὁ δὲ τῆς ἀκολουθίας — ἀποδεικνύς. καὶ ἔστιν ὁ μὲν πρότερος — κατ' ἐκεῖνον τὸν καιρὸν—ῥητορικὸς δέ ἐστι —τοῦ δικαίου ἁπλῶς, ἀλλὰ τῶν ἐπὶ μέρους—δὲ ἕτερος—διὰ τοῦ ἐπὶ μέρους—ἔκ τινων τῶν ἐπὶ μέρους, ὅτι τὸ καθ. Illustravit h. l. peculiari libello de Inductione veterum Reinhardus Viteb. A. C. 1780.

[t] Bas. εἰσίν.

[u] Bas. περὶ πᾶσιν ἀκολουθήσει.

[v] Menagius conj. τοῦ σοῦ πατρός: male, opinor. Nam Laertius videtur hoc loco posuisse casum tertium, qui esset etiam pronomini ὁ αὐτὸς accommodatus.

[w] Batterius d. l. p. 343. conj. ὁ ἐμὸς οὐκ ἂν εἴη πατήρ.

[x] Ald. Bas. omittunt καὶ, et in Bas. nec μὲν legitur.

ἀλλὰ πρὸς τὸ διελέγχειν. Ὁ δὲ τῆς ἀκολουθίας ἐστὶ διπλοῦς· ὁ μὲν, τὸ ἐπὶ μέρους ζητούμενον διὰ τοῦ ἐπὶ μέρους ἀποδεικνύς· ὁ δὲ τὸ καθόλου διὰ τοῦ ἐπὶ μέρους πιστούμενος.[y] Καὶ ἔστιν ὁ μὲν πρότερος, ῥητορικὸς, ὁ δὲ δεύτερος, διαλεκτικός· οἷον ἐν τῷ προτέρῳ ζητεῖται, εἰ ὅδε ἀπέκτεινεν· ἀπόδειξις, τὸ εὑρῆσθαι αὐτὸν κατ' ἐκεῖνον τὸν χρόνον ἡμαγμένον.[z] Ῥητορικὸς δ' ἔστιν ὁ τρόπος τῆς ἐπαγωγῆς οὗτος· ἐπειδὴ καὶ ἡ ῥητορικὴ περὶ τὰ ἐπὶ μέρους, οὐ τὰ καθόλου, τὴν πραγματείαν ἔχει. Ζητεῖ γὰρ οὐ περὶ αὐτοῦ τοῦ δικαίου, ἀλλὰ περὶ[a] τῶν ἐπὶ μέρους δικαίων. Ὁ δ'[b] ἕτερός ἐστι διαλεκτικὸς, προαποδειχθέντος τοῦ καθόλου διὰ τῶν ἐπὶ μέρους· οἷον ζητεῖται, εἰ ἡ ψυχὴ ἀθάνατος, καὶ εἰ[c] ἐκ τῶν τεθνειώτων οἱ ζῶντες· ὅπερ ἀποδείκνυται ἐν τῷ περὶ Ψυχῆς διά τινος καθολικοῦ, ὅτι ἐκ τῶν ἐναντίων τὰ ἐναντία· καὶ αὐτὸ δὲ τὸ καθόλου κατασκευάζεται, ἔκ τινων[d] ὄντων ἐπὶ μέρους· οἷον, ὅτι τὸ καθεύδειν ἐκ τοῦ ἐγρηγορέναι, καὶ ἀνάπαλιν· καὶ τὸ μεῖζον ἐκ τοῦ μικροτέρου, καὶ ἀνάπαλιν. Τούτῳ δὲ ἐχρῆτο εἰς τὴν τῶν ἑαυτῷ δοκούντων κατασκευήν. Ὥσπερ δὲ τὸ παλαιὸν ἐν τῇ τραγῳδίᾳ πρότερον μὲν μόνος[e] ὁ χορὸς διεδραμάτιζεν, ὕστερον δὲ Θέσπις ἕνα ὑποκριτὴν ἐξεῦρεν ὑπὲρ τοῦ διαναπαύεσθαι τὸν χορὸν, καὶ δεύτερον Αἰσχύλος, τὸν δὲ τρίτον Σοφοκλῆς, καὶ συνεπλήρωσαν τὴν τραγῳδίαν· οὕτως καὶ τῆς φιλοσοφίας ὁ λόγος, πρότερον μὲν ἦν μονοειδὴς, ὡς ὁ φυσικός· δεύτερον δὲ Σωκράτης προσέθηκε, τὸν ἠθικόν· τρίτον δὲ Πλάτων, τὸν διαλεκτικὸν, καὶ ἐτελεσιούργησε τὴν φιλοσοφίαν. Θρασύλαος[f] δέ φησι, καὶ κατὰ τὴν τραγικὴν τετραλογίαν ἐκδοῦναι αὐτὸν τοὺς Διαλόγους· οἷον ἐκεῖνοι[g] τέτρασι Δράμασιν ἠγωνίζοντο, Διονυσίοις, Ληναίοις, Παναθηναίοις, Χύτροις· ὧν τὸ τέταρτον ἦν Σατυρικόν· τὰ δὲ τέτταρα Δράματα ἐκαλεῖτο Τετραλογία. Εἰσὶ τοίνυν, φησὶν, οἱ πάντες αὐτῷ γνήσιοι Διάλογοι, ἓξ καὶ πεντήκοντα· τῆς μὲν Πολιτείας εἰς δέκα διαιρουμένης· ἣν καὶ εὑρίσκεσθαι σχεδὸν ὅλην παρὰ Πρωταγόρᾳ[h] ἐν τοῖς Ἀντιλογικοῖς, φησὶ Φαβωρῖνος ἐν Παντοδαπῆς Ἱστορίας δευτέρῳ· τῶν δὲ Νόμων, εἰς δυοκαίδεκα. Τετραλογίαι[i] δὲ ἐννέα, ἑνὸς βιβλίου χώραν ἐπεχούσης τῆς Πολιτείας, καὶ ἑνὸς τῶν Νόμων. Πρώτην μὲν οὖν τετραλογίαν τίθησι, τὴν κοινὴν ὑπόθεσιν ἔχουσαν· παραδεῖξαι γὰρ βούλεται, ὁποῖος ἂν εἴη ὁ τοῦ φιλοσόφου βίος.

[y] Πιστούμενος ab Ald. Bas. abest. Stephanus edidit, ὁ δὲ πιστούμενος τοῦ καθόλου διὰ τοῦ ἐπὶ μέρους.

[z] Bas. ἠμαγμένον.

[a] Περὶ ab Ald. Bas. abest.

[b] Δὲ Ald.

[c] Cod. Arund. οἱ.

[d] Bas. ἐκ τίνων.

[e] Μόνος abest a Cod. Arund.

[f] Cod. reg. Paris. et Bas. θρασύλος. Cod. Ar. Θράσυλος. Ald. θρασύλλος.

[g] Locus hic, inde a verbis ἐκεῖνοι τέτρασι usque ad verba δευτέρα τετραλογία, legitur apud Suidan v. τετραλογία. Libri autem ejus habent, τέσσαρα δρ. omittunt verba τῆς μὲν Πολιτείας—ὁ τοῦ φιλοσόφου βίος· et legunt καθ' ἕκαστον τῶν βιβλίων.

[h] Vid. s. 37.

[i] Ald. τετραλογίας.

Διπλαῖς δὲ[j] χρῆται ταῖς ἐπιγραφαῖς ἑκάστου τῶν βιβλίων· τῇ μὲν, ἀπὸ τοῦ ὀνόματος· τῇ δὲ, ἀπὸ τοῦ πράγματος. Ταύτης τῆς τετραλογίας, ἥτις ἐστὶ πρώτη, ἡγεῖται Εὐθύφρων, ἢ περὶ ὁσίου· ὁ διάλογος δ' ἔστι πειραστικός· δεύτερος, Ἀπολογία Σωκράτους, ἠθικός· τρίτος, Κρίτων, ἢ περὶ πρακτέου,[k] ἠθικός· τέταρτος, Φαίδων, ἢ περὶ ψυχῆς, ἠθικός. Δευτέρα τετραλογία, ἧς ἡγεῖται Κρατύλος, ἢ περὶ ὀρθότητος ὀνομάτων, λογικός· Θεαίτητος, ἢ περὶ ἐπιστήμης, πειραστικός· Σοφιστὴς, ἢ περὶ τοῦ ὄντος, λογικός· Πολιτικὸς, ἢ περὶ βασιλείας, λογικός. Τῆς τρίτης ἡγεῖται Παρμενίδης, ἢ περὶ ἰδεῶν, λογικός· Φίληβος,[l] ἢ περὶ ἡδονῆς, ἠθικός· Συμπόσιον, ἢ περὶ ἀγαθοῦ,[m] ἠθικός· Φαῖδρος, ἢ περὶ ἔρωτος,[n] ἠθικός. Τῆς τετάρτης ἡγεῖται Ἀλκιβιάδης,[o] ἢ περὶ ἀνθρώπου φύσεως, μαιευτικός· Ἀλκιβιάδης δεύτερος, ἢ περὶ προσευχῆς, μαιευτικός· Ἵππαρχος, ἢ φιλοκερδὴς,[p] ἠθικός· Ἀνταρασταὶ, ἢ περὶ φιλοσοφίας, ἠθικός. Τῆς πέμπτης ἡγεῖται Θεάγης, ἢ περὶ φιλοσοφίας,[q] μαιευτικός· Χαρμίδης, ἢ περὶ σωφροσύνης, πειραστικός· Λάχης, ἢ περὶ ἀνδρείας,[r] μαιευτικός· Λύσις, ἢ περὶ φιλίας, μαιευτικός. Τῆς ἕκτης ἡγεῖται Εὐθύδημος, ἢ ἐριστικὸς, ἀνατρεπτικός· Πρωταγόρας, ἢ Σοφισταὶ, ἐνδεικτικός· Γοργίας, ἢ περὶ ῥητορικῆς, ἀνατρεπτικός· Μένων, ἢ περὶ ἀρετῆς, πειραστικός. Τῆς ἑβδόμης ἡγοῦνται Ἱππίαι δύο· πρῶτος, ἢ περὶ τοῦ καλοῦ· δεύτερος, ἢ περὶ τοῦ ψεύδους, ἀνατρεπτικοί· Ἴων, ἢ περὶ Ἰλιάδος, πειραστικός· Μενέξενος, ἢ Ἐπιτάφιος, ἠθικός. Τῆς ὀγδόης ἡγεῖται Κλειτοφῶν, ἢ προτρεπτικὸς, ἠθικός· Πολιτεία, ἢ περὶ δικαίου, πολιτικός· Τίμαιος, ἢ περὶ φύσεως, φυσικός· Κριτίας, ἢ Ἀτλαντικὸς, ἠθικός. Τῆς ἐννάτης[s] ἡγεῖται Μίνως, ἢ περὶ νόμου, πολιτικός· Νόμοι, ἢ περὶ νομοθεσίας,[t] πολιτικός· Ἐπινομὶς, ἢ νυκτερινὸς σύλλογος,[u] ἢ φιλόσοφος, πολιτικός· Ἐπιστολαὶ τρισκαίδεκα, ἠθικαί· ἐν αἷς ἔγραφεν, Εὖ πράττειν· Ἐπίκουρος δὲ, Εὖ διάγειν· Κλέων, Χαίρειν·[v] πρὸς Ἀριστόδημον, μία[w] πρὸς Ἀρχύταν, δύο· πρὸς Διονύσιον, τέτταρες·[x] πρὸς Ἑρμείαν, καὶ Ἔραστον, καὶ Κορίσκον,[y] μία· πρὸς Λεωδάμαντα, μία· πρὸς Δίωνα, μία·[z] πρὸς Περδίκκαν, μία· πρὸς τοὺς Δίωνος οἰκείους, δύο. Καὶ[a] οὗτος μὲν

[j] Ald. Bas. τε.
[k] Ald. πρακτοῦ.
[l] Ald. φίληφος.
[m] Ald. ἢ περὶ ἔρωτος.
[n] Ald. περὶ καλοῦ.
[o] Ald. ἀλκιβιάδης πρῶτος. recte.
[p] Alii libri, ut Bas. legunt ἢ περὶ φιλοκερδοῦς. Sed jam Ald. edidit, ἢ φιλοκερδής.
[q] Ald. περὶ σοφίας.
[r] Ald. ἀνδρίας.
[s] Ald. ἐνάτης.
[t] Ald. περὶ τοῦ νομοθετεῖν.
[u] Verba ἢ νυκτ. σύλλογος absunt ab Ald. sed in Bas. leguntur.
[v] Vid. Suidas v. εὖ διάγειν, et εὖ πράττειν. Menagio verba, Ἐπίκουρος δὲ — χαίρειν videbantur esse adventicia.
[w] Ald. ἐραστόδημον μίαν.
[x] Ald. τέτταρας.
[y] Ald. κουρίσκον.
[z] Verba πρὸς Δίωνα, μία absunt a Bas.
[a] Καὶ abest ab Ald.

οὕτω[b] διαιρεῖ, καί τινες· ἔνιοι δὲ, ὧν ἐστι καὶ Ἀριστοφάνης ὁ Γραμματικὸς, εἰς Τριλογίας ἕλκουσι τοὺς διαλόγους. Καὶ πρώτην μὲν τιθέασιν, ἧς ἡγεῖται Πολιτεία, Τίμαιος, Κριτίας· δευτέραν, Σοφιστὴς, Πολιτικὸς, Κρατύλος· τρίτην, Νόμοι, Μίνως, Ἐπινομίς· τετάρτην, Θεαίτητος, Εὐθύφρων, Ἀπολογία· πέμπτην, Κρίτων, Φαίδων, Ἐπιστολαί· τὰ δ' ἄλλα καθ' ἓν, καὶ ἀτάκτως. Ἄρχονται δὲ, οἱ μὲν, ὡς προείρηται, ἀπὸ τῆς Πολιτείας· οἱ δ', ἀπὸ Ἀλκιβιάδου τοῦ μείζονος· οἱ δ',[c] ἀπὸ Θεάγους· ἔνιοι δὲ, Εὐθύφρονος· ἄλλοι,[d] Κλειτοφῶντος· τινὲς, Τιμαίου· οἱ δ' ἀπὸ Φαίδρου· ἕτεροι, Θεαιτήτου· πολλοὶ δὲ Ἀπολογίαν τὴν ἀρχὴν ποιοῦνται. Νοθεύονται δὲ τῶν Διαλόγων ὁμολογουμένως, Μίδων, ἢ Ἱπποστρόφος,[e] Ἐρυξίας, ἢ Ἐρασίστρατος,[f] Ἀλκυών, Ἀκέφαλος,[g] ἢ Σίσυφος, Ἄξιοχος, Φαίακες, Δημοδόκος,[h] Χελιδών, Ἑβδόμη, Ἐπιμενίδης· ὧν ἡ Ἀλκυὼν, Λέοντος τινὸς εἶναι δοκεῖ, καθά[i] φησι Φαβωρῖνος ἐν τῷ πέμπτῳ τῶν Ἀπομνημονευμάτων. Ὀνόμασι δὲ κέχρηται ποικίλοις, πρὸς τὸ μὴ εὐσύνοπτον εἶναι τοῖς ἀμαθέσι τὴν πραγματείαν. Ἰδιαίταται μὲν σοφίαν ἡγεῖται εἶναι τὴν τῶν νοητῶν καὶ ὄντως ὄντων ἐπιστήμην, ἣν φησι περὶ θεὸν, καὶ ψυχὴν σώματος κεχωρισμένην. Ἰδίᾳ δὲ σοφίαν καὶ τὴν φιλοσοφίαν καλεῖ, ὄρεξιν οὖσαν τῆς θείας σοφίας. Κοινῶς δὲ λέγεται παρ' αὐτῷ σοφία καὶ ἡ πᾶσα ἐμπειρία· οἷον ὅταν σοφὸν λέγῃ[k] τὸν δημιουργόν. Χρῆται δὲ καὶ ἐπὶ διαφερόντων σημαινομένων τοῖς αὐτοῖς ὀνόμασιν. Ὁ γοῦν φαῦλος λέγεται παρ' αὐτῷ, καὶ ἐπὶ τοῦ ἁπλοῦ, ὡς καὶ παρὰ Εὐριπίδῃ ἐν Λυκιμνίῳ[l] φέρεται ἐπὶ τοῦ Ἡρακλέους οὑτωσὶ, Φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθὸν,[m] Πᾶσαν ἐν ἔργῳ[n] περιταμνόμενον Σοφίαν, λέσχης[o] ἀτρίβωνα. Χρῆται δὲ ὁ Πλάτων ἐνίοτε αὐτῷ, καὶ περὶ τοῦ καλοῦ·[p] ἔστι δ', ὅτε καὶ ἐπὶ τοῦ μικροῦ.[q] Πολλάκις δὲ καὶ διαφέρουσιν ὀνόμασιν ἐπὶ τοῦ αὐτοῦ σημαι-

[b] Ald. οὕτως.
[c] Ald. οἱ δέ.
[d] Ald. ἄλλοι δέ.
[e] Ald. ἱππόστροφος. Leg. Ἱπποτρόφος e Cod. bibl. Cæsar. apud Lambec. lib. vii. p. 4.
[f] Ald. ἐρεσίστρατος. Lambec. d. l. legit, Ἐρυξίας, ὁ καὶ Ἐρασίστρατος, ἢ περὶ πλούτου.
[g] Ald. ἀκέφαλον. Bas. ἀκέφαλοι, ἢ σίσυφοι. Lambec. d. l. legit totum locum sic, Ἀλκυὼν, ἢ περὶ μεταμορφώσεως, Ἀκέφαλοι ἢ Σίσυφος, ἢ περὶ τοῦ βουλεύεσθαι, Ἄξιοχος, ἢ περὶ θανάτου, Φαίακες, ἢ— Δημοδόκος, ἢ περὶ τοῦ ξυμβουλεύεσθαι, Χελιδὼν, ἢ —Ἑβδόμη ἢ —Ἐπιμενίδης ἢ —ὧν ἡ Ἀλκυὼν—.
[h] Bas. δημόδοκος.
[i] Ald. κατά.
[j] Descripsit hunc locum Suidas v. σοφία. Sed pro τῆς θείας σοφίας legit τῆς θείας φιλοσοφίας.
[k] Ald. λέγει.
[l] Cod. Arund. Λικυμνίῳ.
[m] Laudatur hic versiculus Euripidis etiam ab Etymol. M. v. φαῦλον, cujus verba descripsit Suidas h. v. Etymol. M. libri habent ἀγαθὰ, sed Suidas legit ibi ἀγαθόν· verum v. εἰδέα habet, τὰ μέγιστα ἀγαθά.
[n] Ald. ἐνέργω.
[o] Ald. λέσχην.
[p] Leg. κακοῦ e Suida v. εἰδέα, ut jam Kusterus ibi animadvertit: etiam Heinsius in m. Bas. adscripserat, *f.* κακοῦ. Ald. ἐπὶ τοῦ καλοῦ—ἐπὶ τοῦ μετρίου. Etiam Cod. Arund. et Cod. reg. Paris. habent ἐπί. recte.

νομένου χρῆται. Τὴν οὖν ἰδέαν καὶ εἶδος ὀνομάζει,[r] καὶ γένος, καὶ παράδειγμα, καὶ ἀρχὴν, καὶ αἴτιον. Χρῆται δὲ καὶ ταῖς ἐναντίαις φωναῖς ἐπὶ τοῦ αὐτοῦ. Τὸ γοῦν αἰσθητὸν καὶ ὂν καλεῖ, καὶ μὴ ὄν· ὂν μὲν, διὰ τὸ γένεσιν αὐτοῦ εἶναι· μὴ ὂν δὲ, διὰ τὴν συνεχῆ μεταβολήν. Καὶ τὴν ἰδέαν, οὔτε κινούμενον, οὔτε μένον· καὶ ταὐτὸ,[s] καὶ ἓν, καὶ πολλά. Τὸ δ' αὐτὸ καὶ ἐπὶ πλειόνων εἴθισται ποιεῖν. Ἔστι δὲ ἡ ἐξήγησις τῶν λόγων αὐτοῦ τριπλῆ. Πρῶτον μὲν γὰρ ἐκδιδάξαι χρὴ, ὅ, τι ἐστὶν ἕκαστον τῶν λεγομένων· ἔπειτα τίνος ἕνεκα[t] λέλεκται, πότερα κατὰ προηγούμενον, ἢ ἐν εἰκόνος μέρει, καὶ εἰς δογμάτων κατασκευὴν, ἢ εἰς ἔλεγχον τοῦ προσδιαλεγομένου· τὸ δὲ τρίτον, εἰ ὀρθῶς λέλεκται. Ἐπεὶ δὲ καὶ σημεῖα[u] τινὰ τοῖς βιβλίοις αὐτοῦ παρατίθενται· φέρε, καὶ περὶ τούτων τὶ εἴπωμεν.[v] Χ[w] λαμβάνεται πρὸς τὰς λέξεις, καὶ τὰ σχήματα, καὶ ὅλως τὴν Πλατωνικὴν συνήθειαν· Διπλῆ Ⲝ[x] πρὸς τὰ δόγματα, καὶ τὰ ἀρέσκοντα Πλάτωνι· ·Χ· περιεστιγμένον, πρὸς τὰς ἐκλογὰς, καὶ[y] καλλιγραφίας· Διπλῆ περιεστιγμένη, πρὸς τὰς ἐνίων διορθώσεις· Ὀβελὸς[z] περιεστιγμένος, πρὸς τὰς εἰκαίους[a] ἀθετήσεις· Ἀντίσιγμα περιεστιγμένον, πρὸς τὰς διττὰς χρήσεις, καὶ μεταθέσεις τῶν γραφῶν· Κεραύνιον,[b] πρὸς τὴν ἀγωγὴν τῆς φιλοσοφίας· Ἀστερίσκος, πρὸς τὴν συμφωνίαν τῶν δογμάτων· Ὀβελὸς,[c] πρὸς τὴν ἀθέτησιν. Τὰ μὲν σημεῖα ταῦτα· καὶ τὰ βιβλία τοσαῦτα· ἅπερ, Ἀντίγονος φησὶν ὁ Καρύστιος ἐν τῷ περὶ Ζήνωνος, νεωστὶ ἐκδοθέντα, εἴ τις ἤθελε διαγνῶναι,[d] μισθὸν ἐτέλει τοῖς κεκτημένοις. Τὰ δὲ ἀρέσκοντα αὐτῷ ταῦτα ἦν. Ἀθάνατον ἔλεγε τὴν ψυχὴν, καὶ πολλὰ μεταμφιεννυμένην σώματα,[e] ἀρχήν τε ἔχειν ἀριθμητικήν· τὸ δὲ σῶμα, γεωμετρικήν. Ὡρίζετο δ' αὐτὴν[f] ἰδέαν τοῦ πάντη διεστῶτος πνεύματος· αὐτοκίνητον δὲ εἶναι, καὶ τριμερῆ. Τὸ μὲν γὰρ αὐτῆς λογιστικὸν[g] μέρος, περὶ τῇ κεφαλῇ καθιδρύσθαι· τὸ δὲ θυμοειδὲς, περὶ τῇ καρδίᾳ· τὸ δὲ ἐπιθυμητικὸν, περὶ τὸν ὀμφαλὸν, καὶ τὸ ἧπαρ,[h] συνίστασθαι. Περιέχειν δὲ ἐκ τοῦ μέσου

[q] Vid. ad Phædon. xlv. 2.

[r] Etiam hunc locum excerpsit Suidas v. εἰδέα, et v. ἰδέας. Sed legit γοῦν εἰδέαν pro οὖν ἰδέαν. Etiam Cod. Ar. et Ald. γοῦν. recte.

[s] Ald. ταυτόν.

[t] Ald. εἵνεκα.

[u] De his σημείοις v. omnino Leopardus Emendatt. xix. 5.

[v] Ald. εἴπομεν.

[w] Ald. Bas. χῑ.

[x] Hæc nota abest ab Ald. ut nota ·Χ·. Bas. χῑ περιεστιγμένον.

[y] Καὶ a Bas. abest.

[z] Alii libri, ut Bas. etiam Cod. reg. Paris. habent ὀβολός.

[a] Ald. Bas. εἰκαίως.

[b] Alii libri, ut Ald. Bas. legunt κεράννιον.

[c] In aliis libris, ut Bas. est ὀβολός.

[d] Is. Casaubonus conj. ἤθελεν ἀναγνῶναι, ut scriptum erat in ora Cod. reg. Paris. ut Stephanus pro ἐκδοθέντα reponi jubebat ἐκδοθέντι, ἄ· ut certe legitur in Ald. et Cod. reg. Paris. etiam Arund.

[e] Cod. Arund. σώματι.

[f] Ald. δὲ αὐτήν.

[g] Cod. Cantabr. et Bas. λογικόν.

[h] Bas. καὶ ἧπαρ.

διαπαντὸς κύκλῳ τὸ σῶμα, καὶ συνεστάναι ἐκ τῶν στοιχείων, διαιρεθεῖσάν τε κατὰ ἁρμονικὰ διαστήματα, δύο κύκλους ποιεῖν συνημμένους, ὧν τὸν[i] ἐντὸς κύκλον, ἑξαχῇ τμηθέντα, τοὺς ἅπαντας ἑπτὰ κύκλους ποιεῖν. Καὶ τοῦτον μὲν κατὰ διάμετρον[j] κεῖσθαι ἐπ' ἀριστερὰ[k] ἔσωθεν· τὸν δὲ, κατὰ πλευρὰν, ἐπὶ τὰ δεξιά· διὸ καὶ κρατεῖν αὐτὸν ἕνα ὄντα. Τὸν γὰρ ἕτερον ἔσωθεν διῃρῆσθαι·[l] καὶ τὸν μὲν εἶναι ταὐτοῦ· τοὺς δὲ, θατέρου· λέγων, τὸν μὲν τῆς ψυχῆς κίνησιν εἶναι· τὴν δὲ, τοῦ ὅλου, καὶ τὰς τῶν πλανωμένων[m] φοράς. Οὕτω δ' ἐχούσης[n] τῆς ἐκ μέσου τομῆς αὐτῇ προσαρμοζομένης πρὸς τὰ ἔσχατα, γινώσκειν τά τε ὄντα, καὶ ἐναρμόζειν διὰ τὸ ἔχειν ἐν αὐτῇ τὰ στοιχεῖα κατὰ ἁρμονίαν. Καὶ γίνεσθαι δόξαν μὲν, κατὰ τὸν θατέρου κύκλον ὀρθουμένου·[o] ἐπιστήμην δὲ, κατὰ τὸν ταὐτοῦ.[p] Δύο δὲ τῶν πάντων ἀπέφηνεν ἀρχὰς, θεὸν καὶ ὕλην· ὃν καὶ νοῦν προσαγορεύει, καὶ αἴτιον. Εἶναι δὲ τὴν ὕλην ἀσχημάτιστον, καὶ ἄπειρον,[q] ἐξ ἧς γίνεσθαι τὰ συγκρίματα· ἀτάκτως δέ ποτε αὐτὴν κινουμένην, ὑπὸ τοῦ θεοῦ φησὶν εἰς ἕνα συναχθῆναι τόπον, τάξιν ἀταξίας κρείττονα ἡγησαμένου. Τραπέσθαι δὲ τὴν οὐσίαν ταύτην εἰς τέτταρα στοιχεῖα, πῦρ, ὕδωρ, ἀέρα, γῆν· ἐξ ὧν αὐτόν τε τὸν κόσμον, καὶ τὰ ἐν αὐτῷ, γεννᾶσθαι· μόνην δὲ τὴν γῆν ἀμετάβολον[r] εἶναι φησί· κομίζων[s] αἰτίαν τὴν τῶν σχημάτων διαφοράν, ἐξ ὧν σύγκειται. Τῶν μὲν γὰρ[t] ἄλλων ὁμογενῆ φησὶν εἶναι τὰ σχήματα· ἅπαντα γὰρ ἐξ ἑνὸς συγκεῖσθαι τοῦ προμήκους τριγώνου, τῆς δὲ γῆς ἴδιον εἶναι τὸ σχῆμα. Πυρὸς μὲν γὰρ εἶναι στοιχεῖον πυραμίδα, ἀέρος τὸ ὀκτάεδρον, ὕδατος τὸ εἰκοσάεδρον, γῆς δὲ κύβον· ὅθεν μήτε γῆν εἰς ταῦτα μεταβάλλειν, μήτε ταῦτα εἰς γῆν. Οὐ διακεκρίσθαι δ' εἰς τοὺς οἰκείους τόπους ἕκαστον, ὅτι ἡ περιφορὰ σφίγγουσα, καὶ πρὸς τὸ μέσον συνάγουσα, συγκρίνει τὰ μικρά· τὰ δὲ διακρίνει[u] τὰ μεγάλα. Διόπερ τὰ εἴδη μεταβάλλοντα, καὶ τοὺς τόπους μεταβάλλειν. Κόσμόν τε εἶναι ἕνα γεννητὸν, ἐπειδὴ καὶ αἰσθητός ἐστιν ὑπὸ θεοῦ κατεσκευασμένος·[v] ἔμψυχόν τε εἶναι, διὰ τὸ κρεῖττον εἶναι τοῦ ἀψύχου τὸ ἔμψυχον· τοῦτό τε ὑποκεῖσθαι δημιούργημα τοῦ βελτίστου αἰτίου· ἕνα τε αὐτὸν, καὶ οὐκ ἄπειρον,[w] κατεσκευάσθαι, ὅτι καὶ τὸ ὑπόδειγμα ἓν ἦν, ἀφ' οὗ αὐτὸν ἐδημιούργησε.

[i] Ald. τὸ.
[j] Ald. καταδιάμετρον.
[k] Ald. ἀριστερᾷ.
[l] Ald. διῃρεῖσθαι.
[m] Bas. πλανομένων.
[n] Ald. οὕτως ἐχούσης.
[o] Alii libri, auctore Stephano, habent ὀρθουμένη.
[p] Ald. κατὰ ταυτὸν ταυτοῦ.
[q] Menagius conj. ἄποιον. vere. Nam Origen. Philosoph. c. 19. p. 111. Ἀσχημάτιστον γὰρ αὐτὴν οὖσαν (τὴν ὕλην) καὶ ἄποιον, προσλαβοῦσαν σχήματα καὶ ποιότητας, γενέσθαι σῶμα.
[r] Alii libri legunt ἀμετάβλητον, auctore Stephano.
[s] Ald. κομείζων. Steph. νομίζων.
[t] Γὰρ a Bas. abest.
[u] Ald. μικρὰ τάδε. διακρίνει.
[v] Ald. κατεσκευασμένον.
[w] Is. Casaubonus rescribi e Platone jussit ἀπείρους. Bas. κατασκευάσθαι.

Σφαιροειδῆ δὲ, διὰ τὸ καὶ τὸν γεννήσαντα τοιοῦτον ἔχειν σχῆμα. Ἐκεῖνον μὲν γὰρ περιέχειν τὰ ἄλλα ζῶα· τοῦτον δὲ τὰ σχήματα πάντων. Λεῖον δὲ, καὶ οὐδὲν ὄργανον ἔχοντα κύκλῳ, διὰ τὸ μηδεμίαν εἶναι χρῆσιν αὐτῶν. Ἀλλὰ μὴν καὶ ἄφθαρτον διαμένειν[x] τὸν κόσμον, διὰ τὸ μὴ διαλύεσθαι εἰς τὸν θεόν.[y] Καὶ τῆς μὲν ὅλης γενέσεως αἴτιον εἶναι τὸν θεὸν, ὅτι πέφυκεν ἀγαθοποιὸν εἶναι τὸ ἀγαθόν· τοῦ δὲ οὐρανοῦ τῆς γενέσεως τὸ ἄριστον[z] αἴτιον. Τοῦ γὰρ καλλίστου τῶν γεννητῶν,[a] τὸ ἄριστον εἶναι τῶν νοητῶν αἴτιον. Ὥστε, ἐπεὶ τοιοῦτος ὁ θεὸς, ὅμοιος δὲ τῷ ἀρίστῳ ὁ οὐρανὸς, κάλλιστός γε ὢν, οὐθενὶ ἂν ὅμοιος εἴη τῶν γεννητῶν,[b] ἀλλ' ἢ τῷ θεῷ. Συνεστάναι δὲ τὸν κόσμον ἐκ πυρὸς, ὕδατος, ἀέρος, γῆς. Ἐκ πυρὸς μὲν, ὅπως ὁρατὸς ᾖ· ἐκ γῆς δὲ, ὅπως στερεός· ἐξ ὕδατος δὲ, καὶ ἀέρος, ὅπως ἀνάλογος. Αἱ γὰρ τῶν στερεῶν δυνάμεις δύο μεσότησιν ἀναλογοῦσιν, ὡς ἓν γενέσθαι τὸ πᾶν· ἐξ ἁπάντων δὲ, ἵνα τέλειος, καὶ ἄφθαρτος, ᾖ. Χρόνον τε γενέσθαι εἰκόνα τοῦ ἀϊδίου·[c] κἀκεῖνον μὲν ἀεὶ μένειν, τὴν δὲ τοῦ οὐρανοῦ φορὰν χρόνον εἶναι. Καὶ γὰρ νύκτα, καὶ ἡμέραν, καὶ μῆνα, καὶ τὰ τοιαῦτα πάντα, χρόνου μέρη εἶναι.[d] Διόπερ ἄνευ τῆς τοῦ κόσμου[e] φύσεως οὐκ εἶναι χρόνον· ἅμα γὰρ ὑπάρχειν αὐτὸν,[f] καὶ χρόνον εἶναι. Πρὸς δὲ χρόνου γένεσιν[g] ἥλιον, καὶ σελήνην, καὶ τὰ πλανώμενα, γενέσθαι· ὅπως δὲ διάδηλος τῶν ὡρῶν ᾖ ἀριθμὸς, καὶ μετάσχῃ[h] τὰ ζῶα ἀριθμοῦ, τὸ τοῦ ἡλίου φῶς ἀνάψας τὸν θεόν. Εἶναι δὲ ὑπὲρ μὲν τὸν τῆς γῆς κύκλον σελήνην, ἐν δὲ τῷ ἐχομένῳ ἥλιον, ἐν δὲ τοῖς ἐπάνω τοὺς πλανήτας. Ἔμψυχον δὲ πάντως, διὰ τὸ ἐμψύχῳ φορᾷ δεδέσθαι.[i] Ἵνα δὲ ὁ κόσμος τελειωθῇ, γενόμενος ὁμοίως τῷ νοητῷ ζώῳ, τὴν τῶν ἄλλων ζώων γενέσθαι φύσιν. Ἐπεὶ οὖν ἐκεῖνος εἶχε, καὶ τὸν οὐρανὸν δεῖν ἔχειν. Θεοὺς μὲν οὖν ἔχειν τὸ πολὺ πυρίνους· εἶναι δὲ τρία γένη τἄλλα, πτηνὸν, ἔνυδρον, πεζόν. Γῆν δὲ πρεσβυτάτην μὲν εἶναι τῶν ἐν τῷ οὐρανῷ θεῶν· γενέσθαι δὲ δημιούργημα, ὡς νύκτα, καὶ ἡμέραν, ποιεῖν· οὖσαν δ' ἐπὶ τοῦ μέσου, κινεῖσθαι περὶ τὸ μέσον. Ἐπεὶ δ' αἰτίαι εἰσὶ δύο, τὰ μὲν διαμονὴν[j] εἶναι, τὰ δ' ἐξ ἀναγκαίας αἰτίας, φησὶ, λεκτέον. Ταῦτα δ' ἔστιν, ἀὴρ, πῦρ, γῆ, ὕδωρ· καὶ οὐκ ὄντα μὲν στοιχεῖα κατ' ἀκρίβειαν, ἀλλὰ δεκτικά· ταῦτα δ' ἐκ τῶν τριγώνων[k] εἶναι συντιθεμένων, καὶ διαλύεσθαι εἰς ταῦτα·

[x] Is. Casaubonus conj. διαμενεῖν.
[y] Ald. εἰς τὸ μὴ ὄν.
[z] Ἄριστον abest a Cod. Arund. et Cantabr.
[a] Ald. Bas. γενητῶν.
[b] Ald. Bas. γενητῶν.
[c] Bas. εἰκόνα ἀΐδιον.
[d] Verba καὶ γὰρ νύκτα—μέρη εἶναι a Bas. absunt.
[e] Ald. τοῦ οὐρανοῦ.
[f] Ald. Bas. αὐτῷ.
[g] Ald. μετὰ δὲ χρόνου γένησιν.
[h] Cod. Arund. μετάσχοι.
[i] Ald. ἐμψύχου—δεδόσθαι.
[j] Mer. Casaubonus ad Antonin. v. 32. p. 403. corr. διὰ γνώμην· Sam. Petitus Observat. ii. 9. conj. διὰ νομήν. Sed Pe. Petitus e Timæo Locro legendum docuit διὰ νοῦν. recte. Certe Cod. Arund. habet διὰ νοῦ.

στοιχεῖα δ' αὐτῶν εἶναι τό, τε πρόμηκες τρίγωνον, καὶ τὸ ἰσοσκελές. Ἀρχὰς μὲν οὖν εἶναι, καὶ αἴτια, τὰ λεχθέντα δύο, ὧν[l] παράδειγμα τὸν θεὸν, καὶ τὴν ὕλην· ὅπερ ἀνάγκη ἄμορφον εἶναι, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων δεκτικῶν. Αἴτιον δὲ τούτων ἐξ ἀνάγκης εἶναι. Δεχόμενον γάρ πως τὰς ἰδέας γεννᾶν τὰς οὐσίας, καὶ δι' ἀνομοιότητα δυνάμεως κινεῖσθαι, καὶ κινούμενον τὰ κινούμενα ἐξ αὐτῆς ἀντικινεῖν. Ταῦτα δὲ πρὶν μὲν ἀλόγως κινεῖσθαι, καὶ ἀτάκτως· ἐπεὶ δὲ ἤρξαντο συνιστάναι τὸν κόσμον, ἐκ τῶν ἐνδεχομένων[m] ὑπὸ τοῦ θεοῦ συμμέτρως, καὶ τεταγμένως, γενέσθαι.[n] Τὰς μὲν γὰρ αἰτίας καὶ πρὸ τῆς οὐρανοποιΐας δύο εἶναι· καὶ τρίτην γένεσιν, ἀλλ' οὐ σαφεῖς, ἴχνη δὲ μόνον, καὶ ἀτάκτους. Ἐπειδὴ δὲ ὁ κόσμος ἐγένετο, λαβεῖν καὶ ταύτας τάξιν· ἐξ ἁπάντων δὲ τῶν ὑπαρχόντων σωμάτων γενέσθαι τὸν οὐρανόν. Δοκεῖ δ' αὐτῷ, τὸν θεὸν, ὡς καὶ τὴν ψυχὴν, ἀσώματον εἶναι. Οὕτω γὰρ μάλιστα φθορᾶς, καὶ πάθους, ἀνεπίδεκτον ὑπάρχειν. Τὰς δὲ ἰδέας ὑφίσταται, καθὰ[o] καὶ προείρηται, αἰτίας τινὰς, καὶ ἀρχὰς, τοῦ τοιαῦτ' εἶναι τὰ φύσει συνεστῶτα,[p] οἷά πέρ ἐστιν αὐτά. Περὶ δὲ ἀγαθῶν, ἢ κακῶν, τοιαῦτα ἔλεγε· τέλος μὲν εἶναι τὴν ἐξομοίωσιν τῷ θεῷ· τὴν δ' ἀρετὴν, αὐτάρκη μὲν εἶναι πρὸς εὐδαιμονίαν, ὀργάνων δὲ προσδεῖσθαι τῶν περὶ σῶμα πλεονεκτημάτων, ἰσχύος, ὑγείας, εὐαισθησίας, τῶν ὁμοίων, καὶ τῶν ἐκτὸς, οἷον πλούτου, καὶ εὐγενείας, καὶ δόξης· οὐδὲν δὲ ἧττον εὐδαίμονα ἔσεσθαι τὸν σοφὸν, κἂν[q] ταῦτα μὴ παρῇ· πολιτεύσεσθαι[r] αὖ, καὶ γαμήσειν, καὶ τοὺς κειμένους νόμους οὐ παραβήσεσθαι· ἐκ δὲ τῶν ἐνδεχομένων,[s] καὶ νομοθετήσειν τῇ ἑαυτοῦ πατρίδι, ἐὰν μὴ τέλεον εὐπαραίτητα[t] ὁρᾷ τὰ πράγματα ἐν ὑπερβαλλούσῃ διαφορᾷ[u] δήμου. Οἴεται δὲ, καὶ θεοὺς ἐφορᾶν τὰ ἀνθρώπινα, καὶ δαίμονας εἶναι. Ἔννοιάν τε καλοῦ πρῶτος ἀπεφήνατο τὴν ἐχομένην τοῦ ἐπαινετοῦ, καὶ λογικοῦ, καὶ χρησίμου, καὶ πρέποντος, καὶ ἁρμόττοντος· ἅπερ πάντα ἔχεσθαι τοῦ ἀκολούθου τῇ φύσει, καὶ ὁμολογουμένου. Διελέχθη[v] δὲ καὶ περὶ ὀνομάτων ὀρθότητος· ὥστε καὶ τὴν ἐπιστήμην τοῦ ὀρθῶς ἀποκρίνεσθαι, καὶ ἐρωτᾶν, πρῶτον αὐτὸν διασυστῆσαι[w] κατακόρως χρησάμενον. Ἐν δὲ τοῖς Διαλόγοις καὶ τὴν δικαιοσύνην θεοῦ νόμον ὑπελάμβανεν, ὡς ἰσχυροτέραν[x] προτρέψαι τὰ δίκαια πράττειν, ἵνα μὴ καὶ μετὰ θάνατον δίκας

[k] Bas. τριγόνων.
[l] Ald. δύο μέν. ὧν. Cod. Cantabr. λεχθέντα. δύο μὲν οὖν παδαρείγματα τὸν θεόν.
[m] Ald. Bas. ἐκδεχομένων.
[n] Cod. Cant. κινεῖσθαι.
[o] Ald. κατά.
[p] Bas. διεστῶτα.
[q] Bas. κἀν.
[r] Ald. Bas. πολιτεύεσθαι.
[s] Ald. ἐκδεχομένων.
[t] Is. Casaubonus conj. ἀπαραίτητα, aut δυσπαραίτητα. Etiam Heinsius in m. Bas. corr. ἀπαραίτητα.
[u] Is. Casaubonus conj. διαφθορᾷ.
[v] Bas. διελέξατο.
[w] Bas. διασυστῆναι. male.
[x] Ald. ἰσχυρωτέρως.

ὑπόσχοιεν οἱ κακοῦργοι· ὅθεν καὶ μυθικώτερος ἐνίοις ὑπελήφθη, τοῖς συγγράμμασιν ἐγκαταμίξας τὰς τοιαύτας διηγήσεις, ὅπως διὰ τοῦ ἀδήλου τρόπου τοῦ ἔχειν τὰ μετὰ τὸν θάνατον, οὕτως ἀπέχωνται τῶν ἀδικημάτων. Καὶ ταῦτα μὲν ἦν αὐτῷ τὰ ἀρέσκοντα. Διῄρει δὲ, φησὶν ὁ Ἀριστοτέλης, καὶ τὰ πράγματα τοῦτον τὸν τρόπον. Τῶν ἀγαθῶν ἐστι, τὰ μὲν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός· οἷον, ἡ μὲν δικαιοσύνη, καὶ ἡ φρόνησις,[y] καὶ ἡ ἀνδρεία,[z] καὶ ἡ σωφροσύνη, καὶ τὰ τοιαῦτα, ἐν ψυχῇ· τὸ δὲ κάλλος, καὶ ἡ εὐεξία, καὶ ἡ ὑγεία, καὶ ἡ ἰσχὺς, ἐν σώματι· οἱ δὲ φίλοι, καὶ ἡ τῆς πατρίδος εὐδαιμονία, καὶ ὁ πλοῦτος, ἐν τοῖς ἐκτός. Τῶν ἀγαθῶν ἄρα τρία εἴδη ἐστί· τὰ μὲν ἐν ψυχῇ· τὰ δ' ἐν σώματι· τὰ δ' ἐκτός. Τῆς φιλίας τρία εἴδη· ἡ μὲν γὰρ αὐτῆς ἐστὶ φυσική· ἡ δὲ ἑταιρική· ἡ δὲ ξενική. Φυσικὴν μὲν οὖν ταύτην λέγομεν, ἣν οἱ γονεῖς πρὸς τὰ ἔκγονα ἔχουσι, καὶ οἱ συγγενεῖς πρὸς ἀλλήλους· ταύτην δὲ κεκλήρωται καὶ τἆλλα ζῶα. Ἑταιρικὴν δὲ καλοῦμεν τὴν ἀπὸ συνηθείας γινομένην,[a] καὶ μηδὲν προσήκουσαν γένει· ἀλλ' οἷον ἡ Πυλάδου πρὸς Ὀρέστην. Ἡ δὲ ξενικὴ φιλία, ἡ ἀπὸ συστάσεως, καὶ διὰ γραμμάτων, γινομένη[b] πρὸς τοὺς ξένους. Τῆς ἄρα φιλίας, ἡ μέν ἐστι φυσικὴ, ἡ δὲ ἑταιρικὴ, ἡ δὲ ξενική. Προστιθέασι δέ τινες τετάρτην, ἐρωτικήν. Τῆς πολιτείας ἐστὶν εἴδη πέντε. Τὸ μὲν γὰρ αὐτῆς ἐστὶ δημοκρατικόν· ἄλλο δὲ ἀριστοκρατικόν· τρίτον δὲ ὀλιγαρχικόν· τέταρτον βασιλικόν· πέμπτον τυραννικόν. Δημοκρατικὸν μὲν οὖν ἐστιν, ἐν αἷς πόλεσι κρατεῖ τὸ πλῆθος, καὶ τὰς ἀρχὰς, καὶ τοὺς νόμους, δι' ἑαυτοῦ αἱρεῖται. Ἀριστοκρατία δέ ἐστιν, ἐν ᾗ μήθ' οἱ πλούσιοι, μήθ' οἱ πένητες, μήθ' οἱ ἔνδοξοι, ἄρχουσιν, ἀλλ' οἱ ἄριστοι τῆς πόλεως προστατοῦσιν. Ὀλιγαρχία δ' ἔστιν, ὅταν ἀπὸ τιμημάτων αἱ ἀρχαὶ αἱρῶνται·[c] ἐλάττους γάρ εἰσιν οἱ πλούσιοι τῶν πενήτων. Τῆς δὲ βασιλείας, ἡ μὲν κατὰ νόμον, ἡ δὲ κατὰ γένος, ἐστίν. Ἡ μὲν οὖν ἐν Καρχηδόνι, κατὰ νόμον· πολιτικὴ[d] γάρ ἐστιν· ἡ δὲ ἐν Λακεδαίμονι, καὶ Μακεδονίᾳ, κατὰ γένος· ἀπὸ γάρ τινος γένους ποιοῦνται τὴν βασιλείαν. Τυραννὶς δέ ἐστιν, ἐν ᾗ παρακρουσθέντες, ἢ βιασθέντες, ὑπό τινος ἄρχονται. Τῆς ἄρα πολιτείας ἡ μέν ἐστι δημοκρατία, ἡ δὲ ἀριστοκρατία, ἡ δὲ ὀλιγαρχία, ἡ δὲ βασιλεία,[e] ἡ δὲ τυραννίς. Τῆς δὲ δικαιοσύνης ἐστὶν εἴδη τρία. Ἡ μὲν γὰρ αὐτῆς ἐστι περὶ θεούς· ἡ δὲ περὶ ἀνθρώπους·[f] ἡ δὲ περὶ τοὺς ἀποιχομένους. Οἱ μὲν γὰρ θύοντες κατὰ νόμους, καὶ τῶν ἱερῶν ἐπιμελούμενοι, δῆλον, ὅτι[g] περὶ θεοὺς εὐσεβοῦσιν· οἱ δὲ

[y] Ald. καὶ φρόνησις.
[z] Ald. ἀνδρία.
[a] Ald. γενομένην.
[b] Ald. γενομένη.
[c] Bas. αἴρωνται.
[d] Bas. πωλητή· ut Cod. reg. Paris. et Cantabr.
[e] Verba ἡ δὲ βασιλεία ab Ald. absunt.
[f] Verba ἡ δὲ περὶ ἀνθρώπους in Ald. non leguntur.

δάνεια ἀποδιδόντες,[h] καὶ παρακαταθήκας, δικαιοπραγοῦσι περὶ ἀνθρώπους· οἱ δὲ τῶν μνημείων ἐπιμελούμενοι,[i] δῆλον, ὅτι περὶ τοὺς ἀποιχομένους. Τῆς ἄρα δικαιοσύνης, ἡ μὲν πρὸς θεούς ἐστιν, ἡ δὲ πρὸς ἀνθρώπους, ἡ δὲ περὶ τοὺς ἀποιχομένους. Τῆς ἐπιστήμης εἴδη ἐστὶ τρία. Τὸ μὲν γάρ ἐστι πρακτικόν· τὸ δὲ ποιητικόν· τὸ δὲ θεωρητικόν. Ἡ μὲν γὰρ[j] οἰκοδομικὴ, καὶ ναυπηγικὴ,[k] ποιητικαί εἰσιν· ἔστι γὰρ αὐτῶν ἰδεῖν ἔργον πεποιημένον. Πολιτικὴ δὲ, καὶ αὐλητικὴ, καὶ κιθαριστικὴ, καὶ αἱ τοιαῦται, πρακτικαί· οὐ γάρ ἐστιν οὐδὲν ἰδεῖν θεατὸν[l] αὐτῶν πεποιημένον, ἀλλὰ πράττουσί τι· ὁ μὲν γὰρ αὐλεῖ, καὶ κιθαρίζει, ὁ δὲ πολιτεύεται. Ἡ δὲ γεωμετρικὴ, καὶ ἁρμονικὴ, καὶ ἀστρολογικὴ,[m] θεωρητικαί· οὔτε γὰρ πράττουσιν, οὔτε ποιοῦσιν, οὐθέν· ἀλλ' ὁ μὲν γεωμέτρης θεωρεῖ, πῶς πρὸς ἀλλήλας ἔχουσιν αἱ γραμμαί· ὁ δ' ἁρμονικὸς, τοὺς φθόγγους· ὁ δ' ἀστρολογικὸς, τὰ ἄστρα, καὶ τὸν κόσμον. Τῶν ἄρα ἐπιστημῶν αἱ μέν εἰσι θεωρητικαὶ, αἱ δὲ πρακτικαὶ, αἱ δὲ ποιητικαί. Τῆς ἰατρικῆς[n] ἐστιν εἴδη πέντε· ἡ μὲν φαρμακευτική· ἡ δὲ χειρουργική· ἡ δὲ διαιτητική· ἡ δὲ νοσογνωμονική· ἡ δὲ βοηθητική. Ἡ μὲν φαρμακευτικὴ διὰ φαρμάκων ἰᾶται τὰς ἀῤῥωστίας·[o] ἡ δὲ χειρουργική, διὰ τοῦ τέμνειν, καὶ καίειν, ὑγιάζει· ἡ δὲ διαιτητικὴ διὰ τοῦ διαιτᾶν ἀπαλλάττει τὰς ἀῤῥωστίας· ἡ δὲ νοσογνωμονικὴ διὰ τοῦ γνῶναι τὸ ἀῤῥώστημα· ἡ δὲ βοηθητικὴ διὰ τοῦ βοηθῆσαι εἰς τὸ παραχρῆμα ἀπαλλάττει τῆς ἀλγηδόνος. Τῆς ἄρα ἰατρικῆς ἡ μέν ἐστι φαρμακευτικὴ, ἡ δὲ χειρουργικὴ, ἡ δὲ διαιτητικὴ, ἡ δὲ βοηθητικὴ, ἡ δὲ νοσογνωμονική. Νόμου διαιρέσεις δύο· ὁ μὲν γὰρ αὐτοῦ[p] γεγραμμένος· ὁ δὲ ἄγραφος. Ὧι μὲν ἐν ταῖς πόλεσι πολιτευόμεθα, γεγραμμένος ἐστίν· ὁ δὲ κατὰ ἔθη γενόμενος,[q] οὗτος ἄγραφος καλεῖται· οἷον, τὸ μὴ γυμνὸν πορεύεσθαι εἰς τὴν ἀγορὰν, μηδὲ γυναικεῖον ἱμάτιον περιβάλλεσθαι. Ταῦτα γὰρ οὐθεὶς νόμος κωλύει,[r] ἀλλ' ὅμως οὐ πράττομεν, διὰ τὸ ἀγράφῳ νόμῳ[s] κωλύεσθαι. Τοῦ ἄρα νόμου ἐστὶν ὁ μὲν γεγραμμένος· ὁ δὲ ἄγραφος. Ὁ λόγος διαιρεῖται εἰς πέντε· ὧν εἷς μέν ἐστιν, ὃν οἱ πολιτευόμενοι λέγουσιν ἐν ταῖς ἐκκλησίαις, ὃς καλεῖται πολιτικός. Ἑτέρα δὲ διαίρεσις λόγου, ὃν οἱ ῥήτορες γράφουσιν, εἰς ἐπίδειξίν τε προφέρουσιν, εἰς ἐγκώμια, καὶ ψόγους, καὶ κατηγορίας· τὸ δὴ τοιοῦτον εἶδός ἐστι ῥητορικόν. Τρίτη δὲ διαίρεσις λόγου, ὃν οἱ ἰδιῶται διαλέγονται πρὸς ἀλλήλους· οὗτος δὴ ὁ τρόπος προσαγορεύεται ἰδιωτικός. Ἑτέρα δὲ διαίρε-

[g] Ald. Bas. δηλονότι.
[h] Ald. δὰν εἰ ἀποδιδόντες.
[i] Ald. ἐπιμερούμενοι, δηλονότι. Etiam Bas. δηλονότι.
[j] Γὰρ abest ab Ald.
[k] Ald. Bas. ναυτική.
[l] Alii libri, ut Ald. θετόν.
[m] Ald. καὶ ἀστρολογική.
[n] Ald. τῆς δὲ ἰατρικῆς. recte.
[o] Ald. τοὺς ἀῤῥωστίας.
[p] Αὐτοῦ abest ab Ald.
[q] Ald. εὔθηγινόμενος.
[r] Bas. κολύει.
[s] Bas. διὰ τὸ τῷ νόμῳ.

σις λόγου, ὃν οἱ κατὰ βραχὺ[u] ἐρωτῶντες, καὶ ἀποκρινόμενοι τοῖς ἐρωτῶσι,[v] διαλέγονται· οὗτος δὲ καλεῖται ὁ λόγος διαλεκτικός. Πέμπτη δὲ διαίρεσις λόγου, ὃν οἱ τεχνῖται περὶ τῆς ἑαυτῶν διαλέγονται τέχνης· ὃς δὴ καλεῖται τεχνικός. Τοῦ λόγου ἄρα, τὸ μέν ἐστι πολιτικὸν, τὸ δὲ ῥητορικὸν, τὸ δὲ ἰδιωτικὸν, τὸ δὲ διαλεκτικὸν, τὸ δὲ τεχνικόν. Ἡ μουσικὴ εἰς τρία διαιρεῖται. Ἔστι γὰρ ἡ μὲν διὰ τοῦ στόματος μόνον, οἷον ἡ ᾠδή· δεύτερον δὲ διὰ τοῦ στόματος, καὶ τῶν χειρῶν, οἷον ἡ κιθαρῳδία· τρίτον ἀπὸ τῶν χειρῶν μόνων, οἷον κιθαριστική. Τῆς ἄρα μουσικῆς ἐστι τὸ μὲν ἀπὸ τοῦ στόματος μόνον· τὸ δ' ἀπὸ τοῦ στόματος, καὶ τῶν χειρῶν· τὸ δ' ἀπὸ τῶν χειρῶν.[w] Διαιρεῖται δὲ ἡ εὐγένεια εἰς εἴδη τέτταρα· ἓν μὲν, ἐὰν ὦσιν οἱ πρόγονοι καλοὶ κἀγαθοὶ, καὶ δίκαιοι, τοὺς ἐκ τούτων γεγεννημένους εὐγενεῖς φασὶν εἶναι· ἄλλο δὲ, ἐὰν ὦσιν οἱ πρόγονοι δεδυναστευκότες, καὶ ἄρχοντες γεγεννημένοι, τοὺς ἐκ τούτων εὐγενεῖς φασιν εἶναι· ἄλλο δὲ, ἐὰν ὦσιν οἱ πρόγονοι ὀνομαστοὶ, οἷον ἀπὸ στρατηγίας, ἀπὸ στεφανιτῶν ἀγώνων, καὶ τοὺς[x] ἐκ τούτων γεγεννημένους, εὐγενεῖς προσαγορεύομεν· ἄλλο εἶδος, ἐὰν αὐτός τις ᾖ[y] γεννάδας τὴν ψυχὴν, καὶ μεγαλόψυχος, καὶ τοῦτον εὐγενῆ φασί·[z] καὶ τῆς γε εὐγενείας αὕτη[a] κρατίστη. Τῆς ἄρα εὐγενείας τὸ μὲν ἀπὸ προγόνων ἐπιεικῶν, τὸ δὲ δυναστῶν, τὸ δὲ ἐνδόξων, τὸ δὲ ἀπὸ τῆς αὐτοῦ[b] καλοκἀγαθίας. Τὸ κάλλος διαιρεῖται εἰς τρία. Ἓν μὲν γὰρ αὐτοῦ ἐστιν ἐπαινετὸν, οἷον ἡ διὰ τῆς ὄψεως εὐμορφία· ἄλλο δὲ χρηστικὸν, οἷον ὄργανον, καὶ οἰκία, καὶ τὰ τοιαῦτα πρὸς χρῆσιν εἰσὶ[c] καλά· τὰ δὲ πρὸς νόμους, καὶ ἐπιτηδεύματα, καὶ τὰ τοιαῦτα πρὸς ὠφέλειαν ἐστὶ καλά. Τοῦ ἄρα κάλλους τὸ μέν ἐστι πρὸς ἔπαινον, τὸ δὲ πρὸς χρῆσιν, τὸ δὲ πρὸς ὠφέλειαν. Ἡ ψυχὴ διαιρεῖται εἰς τρία. Τὸ μὲν γὰρ αὐτῆς ἐστὶ λογικόν·[d] τὸ δὲ ἐπιθυμητικόν· τὸ δὲ θυμικόν. Τούτων δὲ, τὸ μὲν λογικόν ἐστιν αἴτιον τοῦ βουλεύεσθαι, καὶ λογίζεσθαι, καὶ διανοεῖσθαι, καὶ πάντων τῶν τοιούτων· τὸ δ' ἐπιθυμητικὸν μέρος ἐστὶ τῆς ψυχῆς αἴτιον τοῦ ἐπιθυμεῖν φαγεῖν, καὶ τοῦ πλησιάσαι, καὶ τῶν τοιούτων·[e] τὸ δὲ θυμικὸν μέρος αἴτιόν ἐστι τοῦ θαῤῥεῖν, καὶ ἥδεσθαι, καὶ λυπεῖσθαι, καὶ ὀργίζεσθαι. Τῆς ἄρα ψυχῆς ἐστι τὸ μὲν λογιστικὸν,[f] τὸ δὲ ἐπιθυμητικὸν, τὸ δὲ θυμικόν. Τῆς τελείας ἀρετῆς εἴδη τέτταρα. Ἓν μὲν φρόνησις, ἄλλο δικαιοσύνη, τρίτον[g] ἀν-

[t] Δὲ ab Ald. abest.
[u] Ald. καταβραχύ.
[v] Bas. Meibom. ἐρωτῶσιν.
[w] Ald. χειρῶν μόνον.
[x] Ald. Bas. καὶ γὰρ τούς.
[y] Ald. αὐτὸς ᾖ.
[z] Bas. φασιν.
[a] Ald. τῆς εὐγενείας—αὕτη.
[b] Bas. αὐτοῦ.
[c] Ald. χρῆσίν ἐστι. recte.
[d] Alii libri, auctore Stephano, λογιστικόν.
[e] Ald. τῶν τοιούτων πάντων.
[f] Bas. λογικόν.
[g] Cod. Arund. ἓν δὲ δικαιοσύνη· ἄλλο.

δρεία,[h] τέταρτον σωφροσύνη. Τούτων ἡ μὲν φρόνησις αἰτία τοῦ πράττειν ὀρθῶς τὰ πράγματα· ἡ δὲ δικαιοσύνη, τοῦ ἐν ταῖς κοινωνίαις, καὶ τοῖς συναλλάγμασι,[i] δικαιοπραγεῖν· ἡ δὲ ἀνδρεία, τοῦ ἐν τοῖς κινδύνοις καὶ[j] φοβεροῖς μὴ ἐξίστασθαι ποιεῖν, ἀλλὰ μένειν· ἡ δὲ σωφροσύνη, τοῦ κρατεῖν τῶν ἐπιθυμιῶν, καὶ ὑπὸ[k] μηδεμιᾶς ἡδονῆς δουλοῦσθαι, ἀλλὰ κοσμίως ζῆν. Τῆς ἀρετῆς ἄρα τὸ μέν ἐστι φρόνησις, ἄλλο δικαιοσύνη, τρίτον ἀνδρεία, τέταρτον σωφροσύνη. Ἡ ἀρχὴ διαιρεῖται εἰς μέρη πέντε· ἓν μὲν εἰς τὸ κατὰ νόμον· ἓν δὲ εἰς τὸ κατὰ φύσιν· ἓν δὲ εἰς τὸ κατὰ ἔθος·[l] τέταρτον εἰς τὸ κατὰ γένος· πέμπτον δὲ κατὰ βίαν. Οἱ μὲν οὖν[m] ἐν ταῖς πόλεσιν[n] ἄρχοντες ὑπὸ τῶν πολιτῶν ἐπὰν αἱρεθῶσι, κατὰ νόμον ἄρχουσιν· οἱ δὲ κατὰ φύσιν, οἱ ἄῤῥενες, οὐ μόνον ἐν τοῖς ἀνθρώποις, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ζώοις· ἐπὶ πολὺ[o] γὰρ τὰ ἄῤῥενα τῶν θηλειῶν πανταχοῦ ἄρχει· ἡ δὲ τοῦ κατὰ ἔθος[p] ἀρχὴ τοιαύτη ἐστὶν, οἵαν οἱ παιδαγωγοὶ τῶν παίδων ἄρχουσι, καὶ οἱ διδάσκαλοι τῶν φοιτώντων· κατὰ γένος δὲ ἀρχὴ τοιαύτη τις λέγεται, οἵαν οἱ Λακεδαιμόνιοι βασιλεῖς ἄρχουσιν· ἀπὸ γὰρ γένους τινὸς ἡ βασιλεία· καὶ ἐν Μακεδονίᾳ δὲ τὸν αὐτὸν τρόπον ἄρχουσι· καὶ γὰρ ἐκεῖ ἀπὸ γένους ἡ βασιλεία καθίσταται· εἰ δὲ βιασάμενοι, ἢ παρακρουσάμενοι[q] ἄρχουσιν ἀκόντων τῶν πολιτῶν, ἡ τοιαύτη ἀρχὴ κατὰ βίαν λέγεται εἶναι. Τῆς ἀρχῆς ἄρα ἐστὶ τὸ μὲν κατὰ νόμον, τὸ δὲ κατὰ φύσιν, τὸ δὲ κατὰ ἔθος,[r] τὸ δὲ κατὰ γένος, τὸ δὲ κατὰ βίαν. Τῆς ῥητορείας[s] εἴδη ἐστὶν[t] ἕξ. Ὅταν μὲν γὰρ κελεύωσι πολεμεῖν, ἢ συμμαχεῖν, πρός τινα, καλεῖται τὸ τοιοῦτον εἶδος προτροπή· ὅταν δὲ ἀξιῶσι[u] μὴ πολεμεῖν, μηδὲ συμμαχεῖν, ἀλλ' ἡσυχίαν ἄγειν, τὸ τοιοῦτον εἶδος ἐστὶν ἀποτροπή· τρίτον εἶδος τῆς ῥητορείας, ὅταν τὶς φάσκῃ ἀδικεῖσθαι ὑπό τινος, καὶ πολλῶν κακῶν αἴτιον ἀποφαίνῃ,[v] τὸ δὴ τοιοῦτον εἶδος κατηγορία ὀνομάζεται· τέταρτον εἶδος τῆς ῥητορείας ἀπολογία καλεῖται· ὅταν ἀποφαίνῃ αὐτὸν μηθὲν ἀδικοῦντα, μήτε ἄλλο ἄτοπον μηθὲν πράττοντα,[w] τὸ δὴ τοιοῦτον ἀπολογίαν καλοῦσι·[x] πέμπτον εἶδος ῥητορείας· ὅταν τις εὖ λέγῃ, καὶ ἀποφαίνῃ καλὸν κἀγαθὸν, τὸ δὴ τοιοῦτον εἶδος καλεῖται ἐγκώμιον· ἕκτον εἶδος· ὅταν τις ἀποφαίνῃ φαῦλον, τὸ δὴ τοιοῦτον εἶδος καλεῖται ψόγος. Τῆς ἄρα ῥητορείας τὸ μέν ἐστιν ἐγκώμιον,[y] τὸ δὲ ψόγος, τὸ

[h] Ald. ἀνδρία.
[i] Ald. συναλλάγμασιν.
[j] Καὶ abest a Bas.
[k] Cod. Arund. Cantabr. et Bas. ἀπό.
[l] Ald. εὖθος.
[m] Ald. οἱ οὖν.
[n] Bas. πόλεσι.
[o] Bas. ἐπίπολυ.
[p] Ald. εὖθος.
[q] Verba ἢ παρακρουσάμενοι a Bas. absunt.
[r] Ald. εὖθος.
[s] Bas. ῥητορικῆς.
[t] Ald. εἰσίν. male.
[u] Ald. δ' ἀξιῶσι.
[v] Ald. ἀποφαίνει.
[w] Ald. μηθὲν ἐν πράττοντα.
[x] Ald. καλοῦσιν.

δὲ προτροπὴ, τὸ δὲ ἀποτροπὴ, τὸ δὲ κατηγορία, τὸ δὲ ἀπολογία. Τὸ ὀρθῶς λέγειν διαιρεῖται εἰς τέτταρα· ἓν μὲν, ἃ δεῖ λέγειν· ἓν δὲ, ὅσα δεῖ λέγειν· τρίτον, πρὸς οὓς δεῖ λέγειν· τέταρτον δὲ, πηνίκα λέγειν δεῖ· Ἃ μὲν οὖν δεῖ λέγειν, ἃ μέλλει συμφέρειν τῷ λέγοντι, καὶ ἀκούοντι· τὸ δὲ, ὅσα δεῖ λέγειν, μὴ πλείω, μηδὲ ἐλάττω, τῶν ἱκανῶν· τὸ δὲ, πρὸς οὓς δεῖ λέγειν, ἄν τε πρὸς πρεσβυτέρους ἁμαρτάνοντας[z] διαλέγηται,[a] ἁρμόττοντας δεῖ τοὺς λόγους διαλέγεσθαι, ὡς πρεσβυτέροις· ἄν τε πρὸς νεωτέρους, ἁρμόττοντας[b] δεῖ λέγεσθαι, ὡς νεωτέροις· πηνίκα δὲ λέγειν ἐστὶ, μήτε προτέρῳ, μήτε ὑστέρῳ·[c] εἰ δὲ μὴ, διαμαρτήσεσθαι, καὶ κακῶς ἐρεῖν.[d] Ἡ εὐεργεσία διαιρεῖται εἰς τέτταρα. Ἢ γὰρ χρήμασιν, ἢ σώμασιν, ἢ ταῖς ἐπιστήμαις, ἢ τοῖς λόγοις. Τοῖς μὲν οὖν χρήμασιν, ὅταν δεομένῳ παραβοηθήσῃ τὶς εἰς χρημάτων λόγον εὐπορῆσαι·[e] τοῖς δὲ σώμασιν εὖ ποιοῦσιν ἀλλήλους, ὅταν παραγενόμενοι τυπτομένοις παραβοηθῶσιν·[f] οἱ δὲ παιδεύοντες, καὶ ἰατρεύοντες, καὶ διδάσκοντες ἀγαθόν τι, οὗτοι ταῖς ἐπιστήμαις εὐεργετοῦσιν·[g] ὅταν δ' εἰσέλθωσιν εἰς δικαστήριον ἄλλος ὑπὲρ ἄλλου βοηθὸς, καὶ λόγον τινὰ ἐπιεικῆ εἴπῃ ὑπὲρ αὐτοῦ, οὗτος δὴ λόγῳ εὐεργετεῖ. Τῆς ἄρα εὐεργεσίας, ἡ μέν ἐστι διὰ χρημάτων, ἡ δὲ διὰ σωμάτων, ἡ δὲ διὰ ἐπιστημῶν, τετάρτη διὰ λόγων. Διαιρεῖται τὸ τέλος τῶν πραγμάτων εἰς τέτταρα εἴδη· ἓν μὲν κατὰ νόμον τέλος τὰ πράγματα λαμβάνει, ὅταν ψήφισμα γένηται, καὶ τοῦθ' ὁ νόμος τελέσῃ· κατὰ φύσιν δὲ τέλος τὰ πράγματα λαμβάνει, ἥ τε ἡμέρα, καὶ ὁ ἐνιαυτὸς, καὶ αἱ ὧραι· κατὰ τέχνην δὲ τέλος τὰ πράγματα λαμβάνει, οἷον ἡ οἰκοδομική· οἰκίαν γάρ τις ἐπιτελεῖ· καὶ ἡ ναυπηγική· πλοῖα γάρ· κατὰ τύχην δὲ γίνεται τοῖς πράγμασι τέλος, ὅταν ἄλλως, καὶ μὴ, ὡς ὑπολαμβάνει τὶς, ἀποβαίνῃ.[h] Τοῦ τέλους ἄρα τῶν πραγμάτων, τὸ μὲν[i] κατὰ νόμον, τὸ δὲ κατὰ φύσιν, τὸ δὲ κατὰ τέχνην, τὸ δὲ κατὰ τύχην, ἐστίν. Ἡ δύναμις διαιρεῖται εἰς τέτταρα εἴδη· ἓν μὲν, ὃ δυνάμεθα τῇ διανοίᾳ λογίζεσθαι,[j] καὶ ὑπονοεῖν· ἕτερον δὲ, τῷ σώματι, οἷον πορεύεσθαι, καὶ διδόναι, καὶ λαμβάνειν, καὶ τὰ τοιαῦτα· τρίτον, ὃ δυνάμεθα πλήθει[k] στρατιωτῶν, καὶ χρημάτων· ὅθεν καλεῖται πολλὴν δύναμιν ἔχων βασιλεύς· τετάρτη δὲ διαίρεσις δυνάμεως, πάσχειν, καὶ εὖ ποιεῖν, καὶ κακῶς·[l] οἷον, ἀῤῥωστεῖν, καὶ παιδεύεσθαι, δυνάμεθα, καὶ ὑγιεῖς γίνεσθαι, καὶ πάντα τὰ τοι-

[z] Ald. ῥητορείας ἐστὶ, τὸ μὲν ἐγκ.
[z] Ἁμαρτάνοντας Mer. Casaubonus putabat recte posse deleri.
[a] Bas. διαλέγη.
[b] Bas. ἁρμόττοντα.
[c] Ald. προτέρῳ—ὑστέρῳ.
[d] Alii libri, auctore Stephano, διαμαρτήσεσθαι, καὶ οὐκ ὀρθῶς ἐρεῖν.
[e] Is. Casaubonus putabat, legi etiam εὐπορήσας posse.
[f] Bas. παραβωηθῶσιν.
[g] Cod. Cantabr. εὐεργετῶσι.
[h] Ald. ἀποβαίνεις.
[i] Ald. τὰ μὲν—τὰ δὲ—τὰ δὲ—τὰ δέ.
[j] Menagius legi jubebat, ὃ δυνάμεθα τῇ διανοίᾳ, οἷον λογίζεσθαι.
[k] Ald. πλήει.
[l] Menagius conj. καὶ ποιεῖν εὖ καὶ κακῶς, Ambrosio præeunte.

αὗτα.[m] Τῆς ἄρα δυνάμεως, ἡ μέν ἐστιν ἐν διανοίᾳ, ἡ δ' ἐν τῷ σώματι, ἡ δ' ἐν τῷ στρατοπέδῳ,[n] καὶ χρήμασιν, ἡ δ' ἐν τῷ ποιεῖν, καὶ πάσχειν. Τῆς φιλανθρωπίας ἐστὶν εἴδη τρία· ἓν μὲν διὰ τῆς προσηγορίας[o] γινόμενον· οἷον ἐν οἷς τινὲς τὸν ἐντυχόντα πάντα προσαγορεύουσι, καὶ τὴν δεξιὰν ἐμβάλλοντες χαιρετίζουσιν· ἄλλο εἶδος, ὅταν τὶς βοηθητικὸς ᾖ παντὶ τῷ ἀτυχοῦντι· ἕτερον εἶδός ἐστι[p] τῆς φιλανθρωπίας, ἐν ᾧ τινὲς φιλοδειπνισταί εἰσι.[q] Τῆς ἄρα φιλανθρωπίας τὸ μέν ἐστι διὰ τοῦ προσαγορεύειν, τὸ δὲ διὰ τοῦ εὐεργετεῖν, τὸ δὲ διὰ τοῦ ἑστιᾶν, καὶ φιλοσυνουσιάζειν. Ἡ εὐδαιμονία διαιρεῖται εἰς πέντε μέρη. Ἡ μὲν γὰρ αὐτῆς ἐστὶν εὐβουλία· ἡ δὲ εὐαισθησία, καὶ ὑγίεια[r] τοῦ σώματος· τρίτον, εὐτυχία ἐν ταῖς πράξεσι· τέταρτον, εὐδοξία παρὰ τοῖς ἀνθρώποις· πέμπτον, εὐπορία χρημάτων, καὶ τῶν εἰς τὸν βίον χρησίμων. Ἡ μὲν εὐβουλία γίνεται ἐκ παιδείας, καὶ ἐκ τοῦ πολλῶν ἔμπειρον γενέσθαι· ἡ δὲ εὐαισθησία ἐκ τῶν τοῦ σώματος μελῶν[s] οἷον, ἐάν τις ὀφθαλμοῖς ὁρᾷ, καὶ τοῖς ὠσὶν ἀκούῃ, καὶ τῇ ῥινὶ, καὶ τῷ στόματι, αἰσθάνηται, ὧν δεῖ αἰσθάνεσθαι, τὸ δὴ τοιοῦτον εὐαισθησία· ἡ δὲ εὐτυχία, ὅταν, ἐφ' ἃ σκοπεῖ,[t] πράξῃ κατ' ὀρθὸν, ἃ δεῖ πράττειν τὸν σπουδαῖον· εὐδοξία δ' ἔστιν, ὅταν τις εὖ ἀκούῃ· εὐπορία δ' ἔστιν, ὅταν τὶς πρὸς τὰς ἐν τῷ βίῳ χρήσεις οὕτως ἔχῃ, ὥστε καὶ φίλους[u] εὖ ποιῆσαι, καὶ φιλοτίμως, καὶ εὐπόρως, ἀπολειτουργῆσαι· ᾧ δὲ ὑπάρχει πάντα ταῦτα,[v] οὗτός ἐστιν εὐδαίμων τελέως. Τῆς ἄρα εὐδαιμονίας ἐστὶ, τὸ μὲν εὐβουλία, τὸ δὲ εὐαισθησία, καὶ ὑγείᾳ[w] τοῦ σώματος, τὸ δὲ εὐτυχία, τὸ δὲ εὐδοξία, τὸ δὲ εὐπορία. Αἱ τέχναι εἰς τρία διαιροῦνται· ἡ μὲν πρώτη, ἡ δὲ δευτέρα, ἡ δὲ τρίτη. Πρώτη μὲν οὖν ἡ μεταλλευτικὴ, καὶ ὑλοτομικὴ· παρασκευαστικαὶ γάρ εἰσιν· ἡ δὲ χαλκευτικὴ, καὶ ἡ τεκτονικὴ, μετασκευαστικαί εἰσιν· ἐκ μὲν γὰρ τοῦ σιδήρου ἡ χαλκευτικὴ ὅπλα ποιεῖ, ἡ δὲ τεκτονικὴ ἐκ τῶν ξύλων αὐλοὺς, καὶ λύρας· ἡ δὲ χρηστικὴ, οἷον ἱππικὴ τοῖς χαλινοῖς χρῆται· ἡ πολεμικὴ τοῖς ὅπλοις· ἡ μουσικὴ τοῖς αὐλοῖς, καὶ τῇ λύρᾳ. Τέχνης ἄρα τρία εἴδη ἐστί· τὸ μέν τι πρῶτον,[x] τὸ δέ τι δεύτερον, τὸ δέ τι τρίτον. Τὸ ἀγαθὸν εἰς τέτταρα γένη διαιρεῖται· ὧν μὲν ἓν[y] λέγομεν εἶναι τὸν τὴν ἀρετὴν ἔχοντα ἰδίᾳ ἀγαθόν· ἄλλο δὲ, αὐτὸ τὴν ἀρετὴν, καὶ τὴν δικαιοσύνην, λέγομεν ἀγαθὸν εἶναι· τρίτον δὲ, οἷον σιτία, καὶ γυμνάσια, τὰ πρόσφορα, καὶ φάρμακα· τέταρτον δὲ φαμὲν εἶναι ἀγαθὸν,

[m] Ald. πάντα τοιαῦτα.
[n] Cod. Arund. et Ald. ἐν στρατοπέδῳ.
[o] Stephanus conj. εὐπροσηγορίας. male.
[p] Ἐστι a Bas. abest.
[q] Bas. Meibom. εἰσιν.
[r] Ald. Bas. ὑγεία.
[s] Cod. Cant. et Bas. μερῶν.
[t] Ald. σκοπῇ.
[u] Ald. Bas. ὥστε φίλους.
[v] Ald. ταῦτα πάντα.
[w] Bas. τὸ δὲ ὑγεία.
[x] Ald. Bas. πρότερον.
[y] Ald. ὧν ἓν μέν.

οἷον αὐλητικὴν, καὶ ὑποκριτικὴν, καὶ τὰ τοιαῦτα. Ἀγαθοῦ ἄρα τέτταρα εἴδη ἐστί· τὸ μὲν, τὸ τὴν ἀρετὴν ἔχειν· ἕτερον δὲ, αὐτὴ ἡ ἀρετή· τρίτον δὲ, σιτία, καὶ γυμνάσια, ὠφέλιμα·[z] τέταρτον δὲ, αὐλητικὴν, καὶ ὑποκριτικὴν, καὶ ποιητικὴν,[a] ἀγαθὸν λέγομεν εἶναι. Τῶν ὄντων τὰ μέν ἐστι κακὰ, τὰ δὲ ἀγαθὰ,[b] τὰ δὲ οὐδέτερα. Τούτων κακὰ μὲν λέγομεν ταῦτα, τὰ δυνάμενα βλάπτειν ἀεὶ, οἷον ἀκρασίαν,[c] καὶ ἀφροσύνην, καὶ ἀδικίαν, καὶ τὰ τοιαῦτα· τὰ δὲ τούτοις ἐναντία ἀγαθά ἐστιν. Τὰ δὲ ἐνίοτε μὲν ὠφελεῖν, ἐνίοτε δὲ βλάπτειν, οἷον τὸ περιπατεῖν, καὶ τὸ καθῆσθαι, καὶ ἐσθίειν· ἢ ὅλως, μήτε ὠφελῆσαι, μήτε βλάψαι, δυνάμενα· ταῦτα γοῦν, οὔτε ἀγαθὰ, οὔτε κακὰ, ἐστί. Τῶν ἄρα ὄντων, τὰ μὲν ἀγαθὰ, τὰ δὲ κακὰ, τὰ δὲ οὐδέτερα τούτων. Εὐνομία διαιρεῖται εἰς τρία· ἓν μέν, ἐὰν ὦσιν οἱ νόμοι σπουδαῖοι, εὐνομίαν φαμὲν εἶναι· ἕτερον δὲ, ἐὰν τοῖς κειμένοις νόμοις ἐμμένωσιν οἱ πολῖται, καὶ τοῦτο φαμὲν εὐνομίαν εἶναι· τρίτον δὲ, ἐὰν, μὴ ὄντων τῶν νόμων, κατὰ ἔθη,[d] καὶ ἐπιτηδεύματα, χρηστῶς πολιτεύωνται, καὶ τοῦτο εὐνομίαν προσαγορεύομεν. Τῆς εὐνομίας ἄρα ἓν μέν ἐστι νόμους σπουδαίους εἶναι· ἄλλο δὲ, ἐὰν τοῖς οὖσι νόμοις ἐμμένωσι· τρίτον δὲ, ἐὰν ἔθεσι, καὶ ἐπιτηδεύμασι, χρηστοῖς πολιτεύωνται. Διαιρεῖται ἡ ἀνομία εἰς τρία· ὧν ἓν μέν ἐστιν, ἐὰν ὦσιν οἱ νόμοι μοχθηροὶ, καὶ πρὸς ξένους, καὶ πρὸς πολίτας· ἕτερον δὲ, ἐὰν[e] τοῖς ὑπάρχουσι μὴ πείθωνται· ἄλλο δὲ, ἐὰν ὅλως μηδεὶς ᾖ νόμος.[f] Τῆς ἄρα ἀνομίας[g] ἓν μέν ἐστι, τὸ μοχθηροὺς εἶναι τοὺς νόμους· ἄλλο δὲ, ἐὰν τοῖς οὖσι μὴ πείθωνται· τρίτον, ἐὰν μηδεὶς ᾖ νόμος.[h] Τὰ ἐναντία διαιρεῖται εἰς τρία· οἷον ἀγαθὰ κακοῖς[i] ἐναντία φαμὲν εἶναι, ὡς τὴν δικαιοσύνην τῇ ἀδικίᾳ, καὶ τὴν φρόνησιν τῇ ἀφροσύνῃ, καὶ τὰ τοιαῦτα· κακὰ δὲ κακοῖς ἐναντία εἶναι, τὴν ἀσωτίαν, καὶ τὴν ἀνελευθερίαν,[j] καὶ τὸ ἀδίκως στρεβλοῦσθαι τῷ δικαίως στρεβλοῦσθαι· καὶ τὰ τοιαῦτα κακὰ κακοῖς ἐναντία ἐστί·[k] τὸ δὲ βαρὺ τῷ κούφῳ, καὶ τὸ ταχὺ τῷ βραδεῖ, καὶ τὸ μέλαν τῷ λευκῷ, ὡς οὐδέτερα οὐδετέροις ἐναντία ἐστί. Τῶν ἐναντίων ἄρα, τὰ μὲν ὡς ἀγαθὰ, κακοῖς ἐναντία ἐστί· τὰ δὲ, ὡς κακὰ κακοῖς· τὰ δὲ, ὡς οὐδετέροις[l] οὐδέτερα. Τῶν ἀγαθῶν γένη ἐστὶ[m] τρία. Τὰ μὲν γάρ ἐστιν ἐκτὰ, τὰ δὲ μεθεκτὰ,

[z] Ald. τὰ ὠφέλιμα. recte : ut ante, τὰ πρόσφορα.

[a] Verba καὶ ποιητικὴν ab Ald. Bas. absunt.

[b] Cod. Arund. et Ald. Bas. τὰ δὲ καλά.

[c] Cod. Arund. ἀκρισίαν.

[d] Ald. καὶ τὰ εὔθη. Sed a Bas. verba, ἐὰν μὴ ὄντων—τρίτον δὲ, absunt.

[e] Ald. Bas. ἄν.

[f] Ald. εὖ νόμος.

[g] Ald. τῆς ἀνομίας ἄρα.

[h] Ald. μὴδεὶς εὖ νόμος.

[i] Ald. κακίας.

[j] Ald. Bas. ἐστίν. οἷον ἡ ἀσωτία. τῇ ἀνελευθερίᾳ.

[k] Ald. addit, post ἐστι, hæc : τὰ δὲ ὡς οὐδετέροις οὐδέτερα. οἷον τὸ πένεσθαι τῷ πλουτεῖν· ἑκάτερον γὰρ καθ' αὑτὸ. οὔτ' ἀγαθὸν, οὔτε κακὸν, ἐναντία δὲ ὅμως.

[l] Bas. οὐτετέροις.

[m] Ald. Bas. εἰσί. male.

τὰ δὲ ὑπαρκτά. Τὰ μὲν οὖν ἑκτά ἐστιν, ὅσα ἐνδέχεται ἔχειν, οἷον ἡ δικαιοσύνη, καὶ ἡ ὑγίεια·[n] μεθεκτὰ δὲ, ὅσα ἔχειν μὲν μὴ ἐνδέχεται, μετασχεῖν δὲ αὐτῶν ἐνδέχεται· οἷον, αὐτὸ τὸ ἀγαθὸν ἔχειν μὲν οὐχ ἐνδέχεται, μετασχεῖν δὲ αὐτοῦ ἐνδέχεται· ὑπαρκτὰ[o] δὲ, ὅσα, μήτε μετασχεῖν, μήτε ἔχειν, ἐνδέχεται, ὑπάρχειν δὲ δεῖ· οἷον, τὸ σπουδαῖον εἶναι, καὶ δίκαιον εἶναι,[p] ἀγαθόν ἐστι· καὶ ταῦτα, οὔτε ἔχειν, οὔτε μετασχεῖν,[q] ἐστὶν, ἀλλὰ ὑπάρχειν δεῖ τὸ σπουδαῖον εἶναι, καὶ δίκαιον εἶναι. Τῶν ἀγαθῶν ἄρα τὰ μέν ἐστιν[r] ἑκτά· τὰ δὲ μεθεκτά· τὰ δὲ ὑπαρκτά. Ἡ συμβουλία διαιρεῖται εἰς τρία. Ἔστι γὰρ αὐτῆς, ἓν μὲν ἐκ τῶν παροιχομένων χρόνων λαμβανόμενον, ἓν δὲ ἐκ τῶν μελλόντων, ἓν δὲ ἐκ τῶν ἐνεστώτων. Τὰ μὲν οὖν ἐκ τῶν παροιχομένων, παραδείγματα·[s] οἷον, τί[t] ἔπαθον Λακεδαιμόνιοι πιστεύσαντες· τὰ δὲ ἐκ τῶν παρόντων, οἷον, ἀποφαίνειν τείχη ἀσθενῆ, δειλοὺς ἀνθρώπους, σῖτον ὀλίγον· τὰ δὲ[u] ἐκ τῶν μελλόντων, οἷον, ταῖς ὑπονοίαις μὴ ἀδικεῖν τὰς πρεσβείας, ὅπως μὴ ἄδοξος ἡ Ἑλλὰς[v] γένηται. Τῆς ἄρα συμβουλίας τὰ μέν ἐστιν ἐκ τῶν παροιχομένων, τὰ δ' ἐκ τῶν παρόντων, τὰ δ' ἐκ τῶν μελλόντων. Ἡ φωνὴ διαιρεῖται εἰς δύο· ἓν μὲν αὐτῆς ἐστιν ἔμψυχον, ἓν δὲ ἄψυχον· ἔμψυχον μὲν, ἡ τῶν ζώων φωνή·[w] ἄψυχον δὲ, φθόγγοι, καὶ ἦχοι. Τῆς ἐμψύχου[x] φωνῆς ἡ μέν ἐστιν ἐγγράμματος, ἡ δὲ ἀγράμματος· ἐγγράμματος μὲν, ἡ τῶν ἀνθρώπων, ἀγράμματος δὲ, ἡ τῶν ζώων. Τῆς ἄρα φωνῆς ἡ μὲν ἔμψυχος, ἡ δὲ ἄψυχος. Τῶν ὄντων τὰ μέν ἐστι μεριστά, τὰ δὲ ἀμέριστα· τούτων δὲ τῶν μεριστῶν, τὰ μὲν ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ. Ἀμερῆ μὲν οὖν ἐστιν, ὅσα μὴ ἔχει διαίρεσιν, μηδὲ ἔκ τινος σύγκειται· οἷον, ἥ τε μονὰς, καὶ ἡ στιγμὴ, καὶ ὁ φθόγγος· μεριστὰ δὲ, ὅσα ἔκ τινος σύγκειται· οἷον, αἵ τε συλλαβαὶ, καὶ συμφωνίαι, καὶ ζῶα, καὶ ὕδωρ, καὶ χρυσός. Καὶ ὁμοιομερῆ μὲν, ὅσα ἐξ ὁμοίων σύγκειται, καὶ μηδὲν διαφέρει τὸ ὅλον τοῦ μέρους, εἰ μὴ τῷ πλήθει· οἷον, τὸ ὕδωρ, καὶ τὸ χρυσίον, καὶ πᾶν τὸ τυχὸν, καὶ τὸ τοιοῦτον·[y] ἀνομοιομερῆ δὲ, ὅσα ἐξ ἀνομοίων μερῶν σύγκειται, οἷον οἰκία, καὶ τὰ τοιαῦτα. Τῶν ὄντων ἄρα τὰ μέν ἐστι μεριστὰ, τὰ δὲ ἀμερῆ·[z] τῶν δὲ μεριστῶν, τὰ μὲν ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ. Τῶν ὄντων, τὰ μέν ἐστι καθ' ἑαυτὰ, τὰ δὲ πρός τι λέ-

[n] Ald. καὶ ὑγίεια.
[o] Cod. Cantabr. ὑπαρκτικά.
[p] Ald. εἶναι, τὸ δίκαιον. Sed verba, ἀγαθόν ἐστι—καὶ δίκαιον εἶναι, a Bas. absunt.
[q] Ald. σχεῖν—ἀλλ' ὑπάρχειν δεῖ σπουδαῖον εἶναι. Etiam in Cod. Ar. τὸ, post δεῖ, abest.
[r] Ἔστιν ab Ald. abest.
[s] Ald. παραδείγματος.
[t] Ald. τὶ—τὰ δ' ἐκ. Bas. τὰ δ'.
[u] Ald. τὰ δ'.
[v] Ald. ἑλάς.
[w] Ald. φρωνή.
[x] Ald. καὶ τῆς τοῦ ἐμψύχου.
[y] Stephanus verba τυχὸν καὶ τὸ, quæ etiam in Cod. reg. Paris legebantur, recte abesse posse putabat. Et absunt sane a Bas. Sed Ald. παντὸ τυχόν.
[z] Alii libri, auctore Stephano, ἀμέριστα.

γεται. Τὰ μὲν οὖν καθ' ἑαυτὰ λεγόμενα ἐστὶν, ὅσα ἐν τῇ ἑρμηνείᾳ μηδενὸς προσδεῖται· ταῦτα δ' ἂν εἴη, οἷον ἄνθρωπος, ἵππος, καὶ τὰ ἄλλα ζῶα· τούτων γὰρ οὐδὲν δι' ἑρμηνείας χωρεῖ. Τῶν δὲ πρός τι λεγομένων, ὅσα προσδεῖται τινὸς ἑρμηνείας, οἷον τὸ μεῖζον τινὸς, καὶ τὸ θᾶττον τινὸς, καὶ τὸ κάλλιον, καὶ τὰ τοιαῦτα. Τό, τε γὰρ μεῖζον ἐλάττονός ἐστι μεῖζον, καὶ τὸ θᾶττον τινός ἐστι. Τῶν ὄντων ἄρα, τὰ μὲν αὐτὰ καθ' αὑτὰ λέγεται, τὰ δὲ πρός τι. Ὧδε καὶ τὰ πρῶτα διῄρει, κατὰ τὸν Ἀριστοτέλην.[a]

Γέγονε δὲ καὶ ἄλλος Πλάτων, φιλόσοφος Ῥόδιος, μαθητὴς Παναιτίου, καθά φησι Σέλευκος, ὁ Γραμματικὸς, ἐν πρώτῳ περὶ Φιλοσοφίας· καὶ ἄλλος, Περιπατητικὸς, μαθητὴς Ἀριστοτέλους· καὶ ἕτερος, Πραξιφάνους· καὶ ὁ τῆς ἀρχαίας Κωμῳδίας ποιητής.

[a] Ald. κατὰ ἀριστοτέλην.

VITA PLATONIS

E SUIDA.

Πλάτων, Ἀρίστωνος, τοῦ Ἀριστοκλέους, καὶ Περικτιώνης, ἢ Ποτώνης, τὸ γένος ἑλκούσης ἀπὸ Σόλωνος.[a] Ἕκτη γὰρ ἦν ἀπ' ἐκείνου, παῖς γενομένη Δρωπίδου ποιητοῦ, τοῦ ἀδελφοῦ Σόλωνος· ὁ δὲ Σόλων εἰς Νηλέα ἀναφέρει τὸ γένος· καὶ Ἀρίστων δὲ, ὁ Πλάτωνος πατὴρ, ἐκ τοῦ Κόδρου γένους κατήγετο, τοῦ Μελάνθου υἱοῦ. Ἱστόρηται δὲ, ὡς ἔκ τινος θείας ὄψεως ἡ μήτηρ Πλάτωνος ἔγκυος ἐγένετο, ἐπιφανέντος αὐτῇ τοῦ Ἀπόλλωνος· καὶ ἡνίκα ἔτεκε τὸν Πλάτωνα, τότε αὐτῇ ὁ ἀνὴρ συνεγένετο. Ἐτέχθη δ' ἐν Αἰγίνῃ, ἐν τῇ πη' Ὀλυμπιάδι, μετὰ τὰ προοίμια τοῦ Πελοποννησιακοῦ πολέμου· καὶ ἐβίω ἔτη β' καὶ π'. Τελευτᾷ δὲ ἐπὶ τῆς ρη' Ὀλυμπιάδος, οὐδὲ γάμον τινὰ, οὐδὲ ὁμιλίαν καθάπαξ σώματος εἰς πεῖραν δεξάμενος· εὐωχήθη δ' ἐν ἑορτῇ, καὶ ὑπνῶν ἀπεβίω. Καὶ ἕτεροι δὲ ἐγένοντο μετ' αὐτὸν υἱοὶ τῷ Ἀρίστωνι, Ἀδείμαντος, καὶ Γλαῦκος, καὶ Ποτώνη θυγάτηρ. Καὶ τὰ μὲν πρῶτα γράμματα διδάσκεται παρά τινι Διονυσίῳ· ἐγυμνάσθη δὲ τὰ εἰς παλαίστραν παρ' Ἀρίστωνι τῷ Ἀργείῳ· εἶτα μαθὼν ποιητικὴν, γράφει διθυράμβους, καὶ τραγῳδίας. Ἀπογνοὺς δὲ τούτων, ἐφιλοσόφησε παρὰ Σωκράτει ἐπὶ ἔτη κ'.[b] καὶ λόγος, ἰδεῖν Σωκράτην, καθ' ἣν ἡμέραν αὐτῷ παρεδόθη Πλάτων, κύκνον αὐτοῦ τοῖς γόνασιν ἐπικαθήμενον. Προσηγορεύετο δὲ Ἀριστοκλῆς· διὰ δὲ τὸ πλατὺς εἶναι τὸ στέρνον, Πλάτων ἐπωνομάσθη· ἄλλοι δὲ, ὡς πλατὺν ἐν λόγοις Πλάτωνα κληθῆναι. Τρὶς δὲ εἰς Σικελίαν Πλάτων ἦλθε πρὸς τοὺς τυράννους Διονυσίους· καὶ ἐπράθη ὑπὸ τοῦ τυράννου· ἐπρίατο δὲ αὐτὸν Ἀννίκερίς τις Λίβυς, καὶ ἀφῆκε. Διέτριβε δὲ ἐν τῇ Ἀκαδημίᾳ παιδεύων· καὶ διεδέξαντο τὴν σχολὴν αὐτοῦ καθ' ἕνα οἵδε· Σπεύσιππος, Ξενοκράτης, Πολέμων, Κράντωρ, Κράτης· οἱ δὲ Σωκράτους, Ἀρκεσίλαος, Λακύδης, Εὔανδρος Φωκαεὺς, Δάμων

[a] Verba Πλάτων—Σόλωνος leguntur apud Eudocian Ion. p. 362.

[b] Verba ἐφιλοσόφησε—ἔτη κ' habet Eudocia d. l.

Λεοντεὺς, Μοσχίων, Εὔανδρος Ἀθηναῖοις, Ἡγησίνους, Καρνεάδης, Ἀρμάδας. Εἰσὶ δὲ οἱ γνήσιοι αὐτοῦ διάλογοι πάντες νστ'· ὧν οἱ μὲν φυσιολογικοὶ, οἱ δὲ ἠθικοὶ, οἱ δὲ διαλεκτικοί· καὶ ἡ μὲν Πολιτεία διαιρεῖται εἰς βιβλία ι'· οἱ δὲ Νόμοι εἰς ιβ'· τετραλογίαι δὲ λοιπαὶ θ'.[c]

[c] Verba Εἰσὶ δὲ οἱ γνήσιοι—λοιπαὶ θ' excerpsit Eudocia d. l. sed pro τετραλογίαι Villoisonus perperam edidit τερατολογίαι· ut legitur in Mediol. Bas.

HESYCHII MILESII

VITA PLATONIS.

Πλάτων ὁ φιλόσοφος λέγεται, μὴ γάμον τινὰ, μηδὲ ὁμιλίαν σώματος, καθάπαξ ἀνασχέσθαι. Φᾶσὶ δὲ, ὡς ἔκ τινος θείας ὄψεως ἡ μήτηρ αὐτοῦ ἔγκυος γέγονεν, ἐπιφανέντος αὐτῇ τοῦ Ἀπόλλωνος. Καὶ ἡνίκα ἔτεκε τὸν Πλάτωνα, τότε αὐτῇ ὁ ἀνὴρ συνεγένετο. Πλατὺς δὲ ὢν τὰ στέρνα, ἢ τὸ μέτωπον, Πλάτων προσηγορεύθη· οἱ δὲ, ὡς πλατὺν ἐν λόγοις, οὕτω φασὶν αὐτὸν κληθῆναι. Τίμων δὲ, κωμῳδῶν αὐτὸν, ἐν Σίλλοις[a] φησὶ, Τῶν πάντων δ' ἡγεῖτο πλατύστατος, ἀλλ' ἀγορητὴς Ἡδυεπὴς, τέττιξ ἰσογράφος, οἵθ' Ἑκαδήμου Δένδρῳ[b] ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσι. Πρότερον γὰρ ἡ Ἀκαδημία τὸ χωρίον Ἑκαδημία[c] ἐκαλεῖτο. Οὗτος μίξιν ἐποιήσατο τῶν τε Ἡρακλειτείων λόγων, καὶ[d] Πυθαγορικῶν, καὶ Σωκρατικῶν. Τὰ μὲν γὰρ αἰσθητὰ καθ' Ἡράκλειτον, τὰ δὲ νοητὰ κατὰ Πυθαγόραν, τὰ δὲ πολιτικὰ κατὰ Σωκράτην, ἐφιλοσόφει. Ὠφέληται δὲ πολλὰ παρ' Ἐπιχάρμου. Φησὶ γὰρ ὁ Ἐπίχαρμος· Λέγουσιν οἱ σοφοὶ, τὴν ψυχὴν τὰ μὲν διὰ τοῦ σώματος αἰσθάνεσθαι, οἷον ἀκούουσαν, βλέπουσαν· τὰ δ' αὐτὴν καθ' αὑτὴν ἐνθυμεῖσθαι, μηδὲν τῷ σώματι χρωμένην· διὸ καὶ τῶν ὄντων τὰ μὲν αἰσθητὰ εἶναι, τὰ δὲ νοητά. Ὧν ἕνεκα καὶ Πλάτων ἔλεγεν, ὅτι δεῖ τοὺς συνιδεῖν τὰς τοῦ παντὸς ἀρχὰς ἐπιθυμοῦντας, πρῶτον μὲν αὐτὰς καθ' αὐτὰς διελέσθαι τὰς ἰδέας· οἷον ὁμοιότητα, καὶ μονάδα, καὶ πλῆθος, καὶ μέγεθος, καὶ στάσιν, καὶ κίνησιν· δεύτερον αὐτὸ καθ' αὐτὸ, τὸ καλὸν, καὶ ἀγαθὸν, καὶ δίκαιον, καὶ τὰ τοιαῦτα, ὑποθέσθαι· τρίτον δὲ, τῶν ἰδεῶν συνιδεῖν, ὅσαι πρὸς ἀλλήλας εἰσὶν, οἷον ἐπιστήμην, ἢ μέγεθος, ἢ δεσποτείαν· ἐνθυμουμένους, ὅτι τὰ παρ' ἡμῖν, διὰ τὸ μετέχειν ἐκείνων, ὁμώνυμα ἐκείναις

[a] Vid. Gellius iii. 17.

[b] Apud Laert. iii. 7. legitur Δένδρει.

[c] Ita rescripsimus pro Ἑκαδημίας, Meursii admonitu: nam nomen τὸ χωρίον cohærere videtur cum vocabulo ἡ Ἀκαδημία.

[d] Particulam καὶ, quæ in exemplo Meursii omissa est, addidimus e cæteris libris, et Laert. iii. 8. cujus verba descripsit Hesychius.

ὑπάρχει· λέγω δὲ, οἷον δίκαια μὲν, ὅσα τοῦ δικαίου, καλὰ δὲ, ὅσα τοῦ καλοῦ· ἔστι δὲ τῶν εἰδῶν ἕκαστον ἀΐδιόν τε, καὶ νόημα, καὶ πρὸς τούτοις ἀπαθές. Διὸ καί φησιν, ἐν τῇ φύσει τὰς ἰδέας ἑστάναι,[e] καθάπερ παραδείγματα· τὰ δ' ἄλλα ταύταις ἐοικέναι, τούτων ὁμοιώματα καθεστῶτα. Ὁ τοίνυν Ἐπίχαρμος περί τε τοῦ ἀγαθοῦ, καὶ περὶ τῶν ἰδεῶν, οὕτω λέγει,[f] Ἆρ' ἐστιν αὔλησίς τι πρᾶγμα; πάνυ μὲν οὖν. Ἄνθρωπος οὖν αὔλησίς ἐστιν; οὐδαμῶς. Φέρ'[g] ἴδω· τί δ' αὐλητάς; τίς εἶμέν τοι δοκεῖ; Ἄνθρωπος; ἦ οὐ γάρ;[h] πάνυ μὲν οὖν. Οὐκοῦν δοκεῖς Οὕτως ἔχειν καὶ περὶ τῶ ἀγαθῶ;[i] τὸ μὲν Ἀγαθὸν τόδε,[j] πρᾶγμα εἶμεν καθ' αὑτό· ὅστις δέ κα εἰδῇ μαθὼν τᾆν', ἀγαθὸς ἤδη γίνεται. Ὁ Πλάτων Χαβρίᾳ συνείπετο τῷ στρατηγῷ φεύγοντι θανάτου, μηδενὸς τῶν πολιτῶν τοῦτο πράξαι βουληθέντος· ὅτε καὶ ἀνιόντι αὐτῷ εἰς τὴν ἀκρόπολιν σὺν τῷ Χαβρίᾳ Κρωβύλος ὁ συκοφάντης ἀπαντήσας φησὶν, Ἄλλῳ συναγορεύσων[k] ἥκεις, ἀγνοῶν, ὅτι καὶ σὲ τὸ Σωκράτους κώνειον ἀναμένει; Ὁ δ' ἔφη, Καὶ ὅτε ὑπὲρ τῆς πατρίδος ἐστρατευόμην, ὑπέμενον τοὺς κινδύνους, καὶ νῦν ὑπὲρ τοῦ καθήκοντος διὰ φίλον ὑπομενῶ. Τοιοῦτος δὲ ὢν, ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν. Θεόπομπος[l] γοῦν φησὶν, — ἓν γάρ ἐστιν οὐδὲ ἓν, Τὰ δὲ δύο, μόλις ἓν ἐστὶν, ὥς φησὶ Πλάτων. Ἀλλὰ καὶ Ἀναξανδρίδης, Ὅτε τὰς μορίας[m] ἔτρωγεν, ὥσπερ Πλάτων· καὶ Τίμων παραγραμματίζων αὐτὸν, Ὡς ἀνέπλασε Πλάτων πεπλασμένα θαύματα εἰδώς. Ἄλεξις, Εἰς καιρὸν ἥκεις, ὡς ἔγωγ' ἀπορουμένη Ἄνω κάτω τε περιπατοῦσ', ὥσπερ Πλάτων, Σοφὸν οὐδὲν εὗρηκ',[n] ἀλλὰ κοπιῶ τὰ σκέλη· καὶ πάλιν, Λέγεις, περὶ ὧν οὐκ οἶσθα, συγγενῶς[o] τρέχων Πλάτωνι, καὶ γνώσῃ λίτρον καὶ κρόμμυον. Ἄμφις Ἀμφικράτει, Τὸ δ' ἀγαθὸν ὅ, τί ποτ' ἐστιν, οὗ σὺ τυγχάνειν Μέλλεις διὰ ταύτην, ἧττον οἶδα τοῦτ' ἐγὼ, Ὦ δέσποτ', ἢ τὸ τοῦ Πλάτωνος ἀγαθόν.[p] Ὁ Πλάτων, περὶ μὲν ὧν κατείληφεν, ἀποφαίνεται· τὰ δὲ ψευδῆ διελέγχει· περὶ δὲ τῶν ἀδήλων ἐπέχει· καὶ περὶ μὲν τῶν αὐτῷ δοκούντων ἀποφαίνεται διὰ τεσσάρων προσώπων, Σωκράτους,

[e] Ita rescripsimus e Laert. iii. 13. pro ἱστάναι· quæ est librorum editorum Hesychii lectio prava, ut jam Stephanus vidit.

[f] Hi versiculi Epicharmi a nobis ita constituti sunt, ut eos constituit Stephanus in Poesi philosophica p. 56. constituique jussit cum Scaligero Isaacus Casaubonus ad Laert. iii. 14.

[g] Steph. Meurs. φέρε ἴδω τί αὐλητὰς τίς. εἰ μέντοι.

[h] Steph. ἢ γὰρ οὔ; Meurs. ἦ γὰρ οὔ;

[i] Steph. Meurs. περὶ τ' ἀγαθοῦ.

[j] Steph. Meurs. τὸ μὲν ἀγαθόν. τὸ δὲ πρ.—ὅστις δέκα εἰδῇ (Meurs. εἴδη)—τᾆνο ἀγαθὸς γίγνεται οὗτος.

[k] Apud Laert. iii. 24 est συναγορεύων: minus bene.

[l] Apud Laert. iii. 26. legitur Θεόπεμπτος.

[m] Ita legitur apud Laert. d. l. Steph. et Meurs. μωρίας.

[n] Steph. εὕρηκα.

[o] Ita rescripsimus e Laert. iii. 27. Steph. et Meurs. habent συγγενοῦς.

[p] Laert. iii. 27. τὸ Πλάτωνος ἀγαθόν. Πρόσεχε δή.

Τιμαίου, τοῦ Ἀθηναίου ξένου, τοῦ Ἐλεάτου ξένου·[q] περὶ δὲ τῶν ψευδῶν ἐλεγχομένους εἰσάγει Θρασύμαχον, Καλλικλέα, Πῶλον, Γοργίαν. Ἔλεγε δὲ, τὴν μὲν ψυχὴν ἀρχὴν ἔχειν ἀριθμητικὴν, τὸ δὲ σῶμα γεωμετρικήν· ὡρίζετο δὲ αὐτὴν ἰδέαν τοῦ πάντη διεστῶτος πνεύματος, αὐτοκίνητον δὲ εἶναι, καὶ τριμερῆ.[r]

[q] Verba τοῦ Ἀθηναίου—Ἐλ. ξένου addidimus e Laert. iii. 52. cujus locum descripsit Hesychius. Jubebant hoc a nobis fieri verba διὰ τεσσάρων προσώπων.

[r] Verba καὶ τριμερῆ addidimus, et pro τε εἶναι, restituimus δὲ εἶναι, e Laert. iii. 67.

OLYMPIODORI

VITA PLATONIS.

PRÆTER Diogenem Laërtium et Olympiodorum, Vitam Platonis Græce conscripserant Aristoxenus: v. Laërt. v. 35. Zosimus Alexandrinus: v. Suidas v. Ζώσιμος· Phavorinus: v. Suidas v. Φαβωρῖνος· Philosophus: v. Suidas v. Φιλόσοφος· Porphyrius (v. Reiser. Catal. bibl. August. p. 73. et Catal. Codd. Grr. biblioth. Scorial. in Plueri Itinerar. Hispan.), et alii. E recentioribus, præter Ficinum, instituerunt eandem Latine exponere Leonh. Aretinus, cujus opusculum, nondum, quod sciam, editum, latet Florentiæ in bibliotheca Dominicanorum (v. Montefalcon. in biblioth. nova Mss. p. 424. et p. 426. tom. i.), et Guarinus Veronensis: qui ejus liber extat ad calcem Vitarum Plutarchi, p. 365—370. ab Iodoco Badio Ascensio editarum Parisiis a. 1513. f. maj. Exemplaria autem ejus manu scripta sunt Oxonii in biblioth. Collegii S. Mariæ Magdalenæ (v. Catal. Codd. Angliæ p. 73. a n. 2180. tom. i. p. 2.), et Parisiis in biblioth. regia (v. Catal. Mss. Grr. ejus p. 412. Cod. 1863. tom. ii. et p. 163. Cod. 579. et 5831. tom. iv.)

Φέρε δὲ καὶ τὸ γένος εἴπωμεν τοῦ φιλοσόφου, οὐ πολυηκοΐας[a] χάριν, ἀλλ' ὠφελείας καὶ παιδεύσεως μᾶλλον τῶν προσιόντων αὐτῷ. Οὐ γάρ τις οὕτος οὔτις,[b] ἀλλὰ μᾶλλον πολλῶν ἐπίστροφος ἦν ἀνθρώπων.

[a] Casaubonus edidit πολυκοΐας· neque aliter scriptum est in Cod. bibl. Cæsar. Vindob. apud Lambecium Commentarr. lib. vii. p. 52. qui omnino animadvertit, hanc vitam Platonis multis additamentis ab recentiore quadam manu contaminatam esse, tanquam versiculo quodam Procli. Sed jam Vindetus, et Lambecius d. l. viderunt, rescribendum esse πολυηκοΐας· quam eorum auctoritatem sequi non dubitavimus. Carent Lexica hoc nomine: quod ab Olympiodoro apparet ductum esse a vocabulo πολυήκοος, quo Platonem suum usum esse sciret.

[b] Ita edidimus e Cod. Vindob. apud Lambecium d. l. Casaubonus habet, οὐ

Λέγεται γὰρ ὁ Πλάτων υἱὸς γενέσθαι πατρὸς μὲν Ἀρίστωνος τοῦ Ἀριστοκλέους,[c] ἀφ' οὗ τὸ γένος εἰς Σόλωνα τὸν νομοθέτην ἀνέφερε. Διὸ καὶ κατὰ ζῆλον προγονικὸν Νόμους ἔγραφεν ἐν ιβ' βιβλίοις, καὶ Πολιτείας σύστασιν ἐν ια'. Μητρὸς δὲ προῆλθε Περικτιόνης, ἥτις ἀπὸ Νηλέως τοῦ Κόδρου κατήγετο.[d] Φᾶσὶν οὖν, ὅτι φάσμα Ἀπολλωνικὸν συνεγένετο τῇ μητρὶ αὐτοῦ, τῇ Περικτιόνῃ,[e] καὶ ἐν νυκτὶ φανὲν τῷ Ἀρίστωνι, ἐκέλευσεν αὐτῷ μὴ μιγνύναι τῇ Περικτιόνῃ μέχρι τοῦ χρόνου τῆς ἀποτέξεως.[f] Ὁ δὲ οὕτω πεποίηκε· καὶ γεννηθέντα τὸν Πλάτωνα λαβόντες οἱ γονεῖς, βρέφος ὄντα, τεθείκασιν ἐν τῷ Ὑμηττῷ, βουλόμενοι ὑπὲρ αὐτοῦ τοῖς ἐκεῖ θεοῖς, Πανὶ καὶ Νύμφαις, καὶ Ἀπόλλωνι Νομίῳ, θῦσαι· καὶ κειμένου αὐτοῦ, μέλιτται προσελθοῦσαι πεπληρώκασιν αὐτοῦ τὸ στόμα κηρίων μέλιτος·[g] ἵνα ἀληθὲς περὶ αὐτοῦ γένηται, Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.[h] Καλεῖ δὲ αὐτὸν πάντοθεν καὶ τοῖς κύκνοις ὁμόδουλον,[i] ὡς ἐξ Ἀπόλλωνος προελθών·[j] Ἀπολλωνιακὸν γὰρ τὸ ὄρνεον.[k] Ἐν ἡλικίᾳ δὲ γενόμενος, πρῶτον μὲν ἐφοίτησε Διονυσίῳ τῷ γραμματιστῇ, πρὸς μάθησιν κοινῶν γραμμάτων· οὗ καὶ ἐν Ἐρασταῖς[l] μέμνηται· ἵνα μήτε Διονύσιος, ὁ διδάσκαλος, ἄμοιρος εἴη τῆς παρὰ Πλάτωνι μνήμης. Εἶτα μετ' ἐκεῖνον γυμναστῇ

γὰρ οὗτος οὕτις· pro quo Vindetus censebat reponendum esse οὐ γάρ τις αὐτὸς οὕτις. Οὕτις enim idem est quod οὐτιδανὸς apud Homerum: e quo ipso mutuatus est Olympiodorus verba ἐπίστροφος ἦν ἀνθρώπων. v. Odys. α', 177.

[c] Unde a Pausania multis in locis, ut vii. 17. p. 564. dicitur Πλάτων ὁ Ἀρίστωνος, ut ab Æliano V. H. ii. 30. a quo iv. 18. etiam simpliciter ὁ Ἀρίστωνος vocatur.

[d] Alia omnia cum Laert. iii. 1. ea de re tradit Apuleius de Habit. Doctrin. Plat. i. p. 1. Elmenh. qui ejus locus omnino conferri debet: 'Ei Ariston fuisse pater dictus est: cæterum Perictione, Glauci filia, mater fuit: et de utroque nobilitas satis clara. Nam Ariston pater per Codrum ab ipso Neptuno originem duxit: ab Solone sapientissimo, qui legum Atticarum fundator fuit, maternus derivatus est sanguis.'

[e] Vid. Apuleius d. l. et Laert. iii. 2.

[f] Casaubonus edidit τῆς ἀποτάξεως. Nos vero, Vindeti admonitu, rescripsimus τῆς ἀποτέξεως, h. e. τῆς ἀποκυήσεως Laert. iii. 2. Etiam πεποίηκε reposuimus pro πεποίηκεν.

[g] Vid. Cic. Div. i. 36. ii. 31. Plin. H. N. xi. 17. Valerius Max. i. 6. ext. 3. Ælianus V. H. x. 21. xii. 45. Cæterum verba Olympiodori, καὶ γεννηθέντα τὸν Πλάτωνα—ῥέεν αὐδὴ, laudantur a Menagio ad Laert. iii. 6. sed pro προσελθοῦσαι legit perperam προελθοῦσαι· et a Davisio ad Cic. Div. i. 36.

[h] Est versiculus Homeri de Nestore Il. α', 249. conversus Latine a Cicerone Cat. M. 10. sic, *Ex ejus lingua melle dulcior fluebat oratio.* Laudatur ab Hermogene περὶ Ἰδεῶν ii. 4. p. 403. Laurent. Dione Chrysost. ii. p. 22. Morel. et aliis. v. Scherpez. ad Il. d. l. Respexit huc etiam Tertullianus de Anima c. 31. p. 279. vol. iv. Seml. 'Ne ipse quidem Plato, quem forsitan Nestorem credidissemus ob mella facundiæ.'

[i] Socrates se vocat ὁμόδουλον τῶν κύκνων, propter divinandi facultatem, apud Platonem Phædon. 35.

[j] Ita Vindeti emendationem secuti rescripsimus pro προσελθὼν, ut Casaubonus edidit.

[k] Vid. Ælianus H. A. ii. 32. et Phavorinus v. κύκνος τῷ Ἀπόλλωνι.

[l] C. 1. ubi Dionysius vocatur ὁ γραμματικός. Apuleius d. l. p. 2. 'Doctores habuit in prima litteratura Dionysium: at in palæstra Aristonem, Argis oriundum.' v. Menagius ad Laert. iii. 5. qui laudat verba Olympiodori ἐν ἡλικίᾳ δὲ—μνήμης. Sed pro μήτε reponendum videtur μηδέ.

μὲν[m] ἐχρήσατο διδασκάλῳ, Ἀρίστωνι τῷ Ἀργείῳ, ὑφ' οὗ καὶ Πλάτων, ὥς φασι, μετωνομάσθη, πρότερον Ἀριστοκλῆς[n] λεγόμενος τῷ τοῦ πάππου ὀνόματι. Ἐκλήθη δ' οὕτω, διὰ τὸ δύο μόρια τοῦ σώματος ἔχειν πλατύτατα, τό, τε στέρνον, καὶ τὸ μέτωπον,[o] ὡς δηλοῦσι παντα-χοῦ αἱ ἀνακείμεναι αὐτοῦ εἰκόνες, οὕτω φαινόμεναι. Ἄλλοι δέ φασι, μὴ διὰ τοῦτο μετονομασθῆναι αὐτὸν, ἀλλὰ διὰ τὸ πλατὺ, καὶ κεχυμέ-νον, καὶ ἀναπεπταμένον, τοῦ ἀνακειμένου χαρακτῆρος· καθάπερ φασὶ καὶ Θεόφραστον οὕτω μετονομασθῆναι διὰ τὸ θεῖον τῆς φράσεως, πρότε-ρον Τύρταμον λεγόμενον.[p] Μουσικῆς δὲ διδάσκαλον ἔσχε Δράκοντα τὸν Δάμωνος[q] μαθητήν· μέμνηται δὲ τούτου ἐν τῇ Πολιτείᾳ. Τρία δὲ καὶ ταῦτα ἐπαιδεύοντο οἱ Ἀθήνῃσι παῖδες· φημὶ δὲ γράμματα, μουσι-κὴν, παλαίειν· οὐχ ἁπλῶς· ἀλλὰ γράμματα μὲν, διὰ τὸ κοσμεῖν τὸν λόγον, τὸν ἐν αὐτοῖς· μουσικὴν δὲ, διὰ τὸ τιθασσεύειν τὸν θυμόν· πα-λαίειν δὲ, καὶ γυμνάζεσθαι, διὰ τὸ ἀναῤῥωννύναι τὸ τῆς ἐπιθυμίας χα-λαρόν. Καὶ ὁ Ἀλκιβιάδης δὲ παρ' αὐτῷ τὰ τρία ταῦτα φαίνεται παιδευθείς· διὸ καί φησι πρὸς αὐτὸν Σωκράτης, Αὐλεῖν δὲ οὐκ ἐβούλου, καὶ τὰ ἐξῆς.[r] Ἐφοίτησε δὲ καὶ παρὰ γραφεῦσι,[s] παρ' ὧν ὠφελήθη τὴν μίξιν τῶν χρωμάτων, ὧν ἐν Τιμαίῳ[t] μέμνηται. Μετὰ ταῦτα δὲ καὶ παρὰ τοῖς τραγικοῖς[u] ἐπαιδεύθη, παιδευταῖς νομιζομένοις[v] εἶναι τῆς Ἑλλάδος. Προσῆλθε δὲ τούτοις διὰ τὸ ἀπὸ τῆς τραγικῆς γνωμικὸν καὶ σεμνὸν, καὶ τὸ ἡρωϊκὸν τῶν ὑποθέσεων. Καὶ τοῖς διθυράμβοις δὲ[w] πρὸς τιμὴν τοῦ Διονύσου, ἐφόρου λεγομένου[x] τῆς γενέσεως, ὡμίλησε·

[m] Hic locus, *γυμναστῇ μὲν—οὕτω φαι-νόμεναι*, laudatur a Menagio ad Laert. iii. 5. Pro *οὕτως διὰ* reposuimus *οὕτω διά*.

[n] Vid. S. Empiricus c. Gramm. i. 12. p. 271. Fabric. et Apuleius d. l. p. 1.

[o] Apuleius d. l. 'Platoni habitudo corporis cognomentum dedit.' Seneca ep. 58. tom. ii. p. 206. 'Erat quidem corpus validum ac forte sortitus, et illi nomen latitudo pectoris fecerat.'

[p] Suidas v. Θεόφραστος·—Οὗτος *πρότερον ἐκαλεῖτο Τύρταμος· διὰ δὲ τὸ θείως φράζειν ὑπ' Ἀριστοτέλους ἐκλήθη Εὔφραστος, εἶτα Θεόφραστος· ὥσπερ Πλά-των διὰ τὸ ἐν τοῖς λόγοις πλάτος, τοῦτο ἐπωνομάσθη, πρότερον καλούμενος Ἀρι-στοκλῆς.*

[q] Ita rescripsimus pro Δάμενος, ut Casaubonus edidit, quod Vindetus in Δάμονος mutari jubebat. Damonis au-tem mentionem facit Plato, non modo Polit. iii. p. 618. C. E. Francof. sed etiam Alcib. i. p. 439. B. aliisque in locis v. Index Æschin. v. Δάμων. Fuit ma-gister Socratis. v. Laert. ii. 19. et Suidas v. Σωκράτης. Conf. Plutarchus de mu-sic. p. 1136. E. tom. ii.

[r] Alcib. i. p. 431. C. Francof.

[s] Apuleius d. l. p. 2. 'Picturæ non aspernatus artem.'

[t] P. 1071. s. Francof.

[u] Ita, Vindeto præeunte, correximus pro *στρατηγικοῖς*, ut edidit Casaubonus. Confirmat hanc correctionem, et sequens oratio, et res ipsa. Apuleius d. l. p. 2. 'Tragœdis, et dithyrambis se utilem finxit.'

[v] Ita legendum vidit Isaacus Casau-bonus: nam Mer. Casaubonus edidit *ὀνο-μαζομένοις*. Sic Xen. Cyrop. i. 6. 12. *ἀπιόντα με ἐκέλευσας τοῖς στρατηγικοῖς ἀνδράσι νομιζομένοις εἶναι διαλέγεσθαι.*

[w] Vindetus legi malebat *δή*: sine ido-nea caussa; nam particulæ *καὶ—δὲ* vim habent augendæ orationis, ut apud Lati-nos particulæ *et vero, atque adeo*.

[x] Hæc est Casauboni patris emenda-tio: nam Casaubonus filius edidit *ἔφορον λεγόμενον*, adversante verborum struc-tura.

τούτῳ γὰρ ὁ διθύραμβος ἀνέκειτο, ἀφ' οὗ καὶ τὸ ὄνομα εἶχε. Διθύραμβος γὰρ ὁ Διόνυσος, ὡς ἐκ δύο θυρῶν ἐξελθών, τῆς τε Σεμέλης, καὶ τοῦ μηροῦ τοῦ Διός.[y] Εἰώθεισαν γὰρ οἱ ἀρχαῖοι τὰ αἰτιατὰ ὀνομάζειν τοῖς τῶν αἰτίων ὀνόμασι, καθάπερ καὶ τὸν Διόνυσον καλοῦσι· διὸ καὶ ὁ Πρόκλος περὶ τούτου φησὶν, Ὅσσ' εἶδον τεκέεσιν ἐφημίξαντο τοκῆες.[z] Ὅτι δὲ τοὺς διθυράμβους ὁ Πλάτων ἤσκητο, δῆλον ἐκ τοῦ Φαίδρου τοῦ διαλόγου, πάνυ πνέοντος τοῦ[a] διθυραμβώδους χαρακτῆρος· ἅτε τοῦ Πλάτωνος τοῦτον πρῶτον γράψαντος διάλογον, ὡς λέγεται. Ἔχαιρε δὲ πάνυ, καὶ Ἀριστοφάνει τῷ κωμικῷ, καὶ Σώφρονι· παρ' ὧν καὶ τὴν μίμησιν τῶν προσώπων ἐν τοῖς διαλόγοις ὠφελήθη. Λέγεται δὲ οὗτος αὐτοῖς χαίρειν,[b] ὥστε καὶ, ἡνίκα ἐτελεύτησεν, εὑρεθῆναι ἐν τῇ κλίνῃ αὐτοῦ Ἀριστοφάνην, καὶ Σώφρονα·[c] καὶ Ἐπίγραμμα δὲ τοιοῦτον εἰς Ἀριστοφάνην αὐτὸς πεποίηκεν· Αἱ Χάριτες τέμενός τι λαβεῖν, ὅπερ οὐχὶ πεσεῖται, Ζητοῦσαι, ψυχὴν εὗρον Ἀριστοφάνους.[d] Ἐκωμῴδησε δὲ αὐτὸν ἐν τῷ Συμποσίῳ τῷ διαλόγῳ, ὡς κωμῳδίαν ὠφεληθείς· καὶ γὰρ ποιήσας[e] αὐτὸν ὑμνοῦντα τὸν Ἔρωτα, εἰσάγει αὐτὸν μεταξὺ λυγγὶ περιπεσόντα, καὶ μὴ δυνάμενον πληρῶσαι τὸν ὕμνον.[f] Ἐποίησε δὲ καὶ Τραγικὰ ποιήματα,[g] καὶ Διθυραμβικὰ, καὶ ἄλλα τινὰ, ἅπερ πάντα κατέκαυσε[h] τῆς Σωκράτους πειραθεὶς διατριβῆς, εἰπών τι τοιοῦτον ἔπος,[i] Ἥφαιστε, πρόμολ' ὧδε· Πλάτων νύ τι σεῖο χατίζει. Γραμματικὸς δέ τις Ἀνατόλιος ἐνταῦθά ποτε τὸ ἔπος εἰπὼν, ηὐδοκίμησεν εἰς Ἥφαιστον ἄρχοντα, ἐπιστάντα τῇ πόλει· εἶπε δὲ αὐτὸν οὕτως· Ἥφαιστε, πρόμολ' ὧδε. Φάρος νύ τι σεῖο χατίζει. Φασὶ δ', ὅτι, ἡνίκα ὁ Σωκράτης ἤμελλε δέχεσθαι, ὄναρ εἶδεν, ὅτι κύκνος ἄπτερος ἐν τοῖς γόνασιν αὐτοῦ καθῆστο, καὶ παραχρῆμα πτεροφυήσας ἀνέπτη εἰς τὸν ἀέρα, καὶ ἔκλαγξέ τι λιγυρὸν, ὡς πάντας[j] θέλξαι τοὺς ἀκούοντας· τοῦτο δὲ ἐδήλου

[y] Vid. Etymol. M. v. Διθύραμβος.

[z] Ita, Vindeto auctore, emendavimus: nam Casaubonus vulgavit τοκεῦσιν· cui lectioni ipsa verborum sententia repugnat.

[a] Mer. Casaubonus edidit, πνέων τοῦ τοῦ· sed Isaacus pater recte correxit πνέοντος τοῦ· quod adeo recepimus. De re ipsa v. Aristides Orat. Plat. ii. p. 490. tom. iii. Cant.

[b] Athen. xi. 15. p. 504. B. Καὶ ὁ τοὺς Μίμους δὲ πεποιηκὼς, οὓς, διὰ χειρὸς ἔχειν Δοῦρίς φησι τὸν σοφὸν Πλάτωνα.

[c] Quintil. i. 10. 17. 'Sophron ostendit, mimorum quidem scriptor, sed quem Plato adeo probavit, ut suppositos capiti libros ejus, quum moreretur, habuisse credatur.' Valer. Max. viii. 7. ext. 3. 'Altero etiam et octogesimo anno decedens, sub capite Sophronis mimos habuisse fertur.' v. Menagius ad Laert. iii. 18.

[d] Ita edidimus, Vindeti auctoritate, etiam Menagio ad Laert. iii. 18. probante: nam Casauboni quidem in codice scriptum erat, sicut ipse edidit,—τό περ οὔτι πεσεῖται, Ζηλοῦσαι —. Sed οὔ τι tamen fortassis retineri recte posset.

[e] Mer. Casaubonus edidit ποτίσας· quod tamen ipse acute vidit mutandum esse in ποιήσας· quod adeo recepimus.

[f] Vid. Sympos. c. 11.

[g] Vid. Ælianus V. H. ii. 30. Cf. Casaubonus de Poesi Satyr. p. 197.

[h] Vid. Apuleius Apol. p. 279. Elmenh.

[i] Vid. Laert. iii. 5.

[j] Sic Vindetus emendavit. Casaubonus edidit πάντα. De somnio illo Socratis v. Apuleius de Habit. Doctrin. Plat. i. p. 1. Attigit idem etiam Ter-

τὴν μέλλουσαν δόξαν τοῦ ἀνδρός. Μετὰ δὲ τὴν τελευτὴν Σωκράτους, διδασκάλῳ πάλιν[k] ἐχρήσατο Κρατύλῳ τῷ Ἡρακλειτείῳ, εἰς ὃν καὶ διάλογον ὁμώνυμον ἐποίησεν, ἐπιγράψας Κρατύλος, ἢ περὶ ὀρθότητος ὀνομάτων. Μετὰ τοῦτον δὲ πάλιν στέλλεται εἰς Ἰταλίαν,[l] καὶ διδασκαλεῖον εὑρὼν ἐκεῖ τῶν Πυθαγορείων συνιστάμενον Ἀρχύταν, πάλιν ἔσχε διδάσκαλον τὸν Πυθαγόρειον ὁμώνυμον· ἔνθα καὶ Ἀρχύτου μέμνηται. Ἐπειδὴ δὲ δεῖ τὸν φιλόσοφον φιλοθεάμονα εἶναι τῶν τῆς φύσεως ἔργων· στέλλεται καὶ εἰς Σικελίαν,[m] θεασόμενος τοὺς κρατῆρας τοῦ πυρὸς, τοὺς ἐν τῇ Αἴτνῃ, καὶ οὐ Σικελικῆς τραπέζης χάριν, ὦ γενναῖε Ἀριστείδη, ὡς σὺ φῄς.[n] Γενόμενος ἐν Συρακούσαις πρὸς Διονύσιον τὸν μέγαν, τύραννον ὄντα, ἐπειρᾶτο εἰς ἀριστοκρατείαν μεταβάλλειν τὴν τυραννίδα· διὸ καὶ πρὸς αὐτὸν ἀφῖκτο, καὶ τοῦ Διονυσίου ἐρομένου αὐτὸν, Τίνα νομίζεις ἐν ἀνθρώποις εὐδαίμονα εἶναι; ὡς δὴ νομίζων, ὅτι περὶ αὐτοῦ φήσει ὁ φιλόσοφος, κολακεύων αὐτόν· ὁ δὲ ἀπεκρίνατο, ὅτι Σωκράτην. Πάλιν ἐπανήρετο αὐτὸν, Τί νομίζεις ἔργον ἀνδρὸς εἶναι πολιτικοῦ; ὁ δὲ ἀπεκρίνατο, τὸ τοὺς πολίτας βελτίους ποιεῖν. Τρίτον αὐτὸν ἐπανήρετο, Τί οὖν; τὸ ὀρθῶς δικάζειν σμικρὸν σοὶ δοκεῖ; δόξαν γὰρ εἶχεν ὁ Διονύσιος ἐπὶ τοῦ ὀρθῶς δικάζειν· ὁ δὲ ἀπεκρίνατο, μηδὲν ὑποστειλάμενος, Σμικρὸν μὲν οὖν, καὶ πολιτικοῦ μέρος ἔσχατον·[o] ἀκεσταῖς γὰρ ἐοίκασιν οἱ ὀρθῶς δικάζοντες, οἵτινες τὰ διερρωγότα ἱμάτια ἀνυφαίνουσι. Τέταρτον αὐτὸν ἐπανήρετο, Τί τύραννον εἶναι; οὐκ ἀνδρεῖον; Πάντων μὲν οὖν, ἔφη, δειλότατον, ὁπότε καὶ τὰ κουρευτικὰ μαχαίρια διαδέδοικε,[p] μὴ διὰ τούτων ἀπόληται. Ἐπὶ τούτοις οὖν ὁ Διονύσιος ἀγανακτήσας, προεῖπεν αὐτῷ ἡλίου ὄντος ὑπὲρ γῆς ἐκ τῶν

tullianus de Anima c. 4. p. 310. tom. iv. 'Cycnus de sinu Socratis demulcens homines, discipulus Plato est.'

[k] Nam Plato, jam ante quam se ad Socratis disciplinam contulisset, Heracliti secta fuerat imbutus. v. Apuleius d. l. p. 2.

[l] Vid. Cicero Fin. v. 29. Tuscull. i. 17. Apuleius d. l. Valer. Max. viii. 7. ext. 3. Laert. viii. 79. Augustinus C. D. viii. 4. Venit autem Plato Tarentum L. Camillo, Appio Claudio, Consulibus: v. Cic. Cat. M. 12. hoc est, A. U. cccc v. Gellius ix. 11. In Epistolis Platonis extant hodie duæ, quas ad Archytan dedit: alteram earum servavit Laertius viii. 81.

[m] Cum hoc toto loco, qui est de profectione Platonis in Siciliam, ejusque in aula utriusque Dionysii commoratione, conferri locus Eusebii debet Chron. i. p. 56. Scal. a quo eadem iisdem fere verbis referuntur.

[n] Intelligitur Ἀριστείδης ὁ Ῥήτωρ, ut ab Eusebio vocatur. v. Orat. Plat. ii. p. 376. s. tom. iii. Cant. add. Lucian. de parasit. tom. ii. p. 254. Græv. Nonnus Συναγ. ἱστορ. i. 23. p. 134. s. Eton. et Apuleius d. l. p. 3.

[o] Casaubonus edidit καὶ μέρος ἔσχατον. Sed apud Eusebium d. l. est, πρὸς ὃν ὁ Πλάτων, Μόριόν τι μικρὸν πολιτικοῦ τὸ δικάζειν ὀρθῶς. Unde Hemsterhusius ad Tho. Mag. p. 27. inserendum hoc loco ante μέρος censuit genitivum πολιτικοῦ. Cui quidem ejus auctoritati parere, re ipsa jubente, non dubitavimus.

[p] Casaubonus filius edidit μακαίρια διαδέδοικε. Sed Casaubonus pater legi jubebat μαχαιρίδια δέδοικε. Bene: v. Piersonus ad Mœrin p. 259. s. Nobis vero recipere visum est, μαχαίρια διαδέδοικε· quæ quidem lectio propius accedit ad scripturam Cod. veteris: et apud Eusebium d. l. est, τὰ κουρευτικὰ μαχαίρια φοβεῖται, μὴ ὑπ' αὐτῶν ἀναιρεθῇ.

Συρακουσῶν ἀπαλλάττεσθαι· καὶ οὕτως ἀτίμως ὁ Πλάτων ἀπὸ τῶν Συρακουσῶν ἐδιώχθη.[q] Τῆς δὲ δευτέρας ὁδοῦ τῆς εἰς Σικελίαν αἰτία αὕτη. Μετὰ τὸν θάνατον Διονυσίου τοῦ μεγάλου διαδέχεται τὴν τυραννίδα Διονύσιος ὁ Διονυσίου,[r] μητρὸς ἀδελφὸν ἔχων τὸν Δίωνα, ὃς ἐκ πρώτης ὁδοῦ ὁμιλητὴς ἐγένετο Πλάτωνος. Γράφει οὖν αὐτῷ ὁ Δίων, Ὅτι, ἐὰν παραγένῃ, νῦν ἐλπίς ἐστι μεταβαλεῖν τὴν τυραννίδα εἰς ἀριστοκρατείαν. Διὰ τοῦτο τοίνυν τὴν δευτέραν ὁδὸν ποιησάμενος, καὶ διαβληθεὶς ὑπὸ τῶν δορυφόρων τοῦ Διονυσίου πρὸς αὐτὸν, ὡς βουλεύεται τὴν ἀρχὴν περιποιῆσαι τῷ Δίωνι, καὶ καταλῦσαι τὸν Διονύσιον, κρατηθεὶς ὑπ' αὐτοῦ, παρεδόθη Πόλλιδι τῷ Αἰγινήτῃ, ἐμπορευομένῳ εἰς Σικελίαν, πρὸς πρᾶσιν.[s] Ὁ δὲ ἀγαγὼν αὐτὸν εἰς Αἴγιναν, εὗρεν Ἀννίκεριν ἐκεῖ, τὸν Λίβυν, μέλλοντα πλεῖν ἐπὶ τὴν Ἦλιν, ἐφ' ᾧ τεθρίππῳ ἀγωνίσασθαι. Περιτυχὼν οὖν τῷ Πόλλιδι, ὠνεῖται παρὰ αὐτοῦ τὸν Πλάτωνα, κρείττω τὴν δόξαν ταύτην πάσης ἐν τεθρίππῳ νίκης ἀγωνισάμενος· περὶ οὗ καὶ Ἀριστείδης φησὶν, ὅτι οὐδεὶς ἐγίνωσκεν Ἀννίκεριν, εἰ μὴ Πλάτωνα ἐπρίατο.[t] Τῆς δὲ τρίτης ὁδοῦ πάλιν ἀφορμὴ γέγονε τῆς εἰς Σικελίαν αὕτη· δημευθεὶς ὁ Δίων ὑπὸ τοῦ Διονυσίου, καὶ ἀφαιρεθεὶς τῶν ὄντων, ἐν δεσμωτηρίῳ ἐβλήθη. Γράφει οὖν τῷ Πλάτωνι, ὅτι ὑπέσχετο ὁ Διονύσιος ἀφεῖναι αὐτὸν, εἰ Πλάτων αὖθις ἀφίξεται πρὸς αὐτόν· ὁ δὲ τῷ ἑταίρῳ βοηθήσων, ἑτοίμως ὑπέστη καὶ τὴν τρίτην ὁδόν.[u] Καὶ ταῦτα μὲν περὶ τῆς ἀποδημίας τοῦ φιλοσόφου τῆς εἰς Σικελίαν. Ἰστέον δὲ, ὅτι καὶ εἰς Αἴγυπτον ἀπῆλθε πρὸς τοὺς ἐκεῖ ἱερατικοὺς ἀνθρώπους, καὶ ἔμαθε παρ' αὐτῶν τὴν ἱερατικήν.[v] Διὸ καὶ ἐν τῷ Γοργίᾳ[w] φησὶν, Οὐ μὰ τὸν Κύνα, τὸν παρ' Αἰγυπτίοις θεόν. Ὃ γὰρ παρὰ τοῖς Ἕλλησι δύναται τὰ ἀγάλματα, τοῦτο παρὰ τοῖς Αἰγυπτίοις τὰ ζῶα, σύμβολα ὄντα ἑκάστου τῶν θεῶν, ᾧ ἀνάκειται. Βουλόμενος δὲ καὶ τοῖς Μάγοις ἐντυχεῖν, διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν[x] ἐν Περσίδι συνεστάναι πόλεμον, μὴ δυνηθεὶς παρ' αὐτοὺς ἐλθεῖν, ἀφίκετο εἰς τὴν Φοινίκην· καὶ Μάγοις ἐκεῖ ἐντυχὼν, παρέλαβε τὴν μαγικήν. Διὸ καὶ

[q] Casaubonus edidit, ἡλίου ὕντος ὑπὲρ γῆς (aliquid deest) ἐκ τῶν Συρακουσῶν ἐδιώχθη. Hanc lacunam nos explevimus e Cod. Vindob. auctore Lambecio d. l. p. 52.

[r] Vid. Gellius xvii. 21.

[s] Vid. Nonnus Συναγ. ἱστορ. i. 23. p. 134. s.

[t] Vid. Aristides Orat. Plat. ii. p. 385. tom. iii. et Menagius ad Laert. ii. 86.

[u] Vid. Philostratus V. Apol. Tyan. xxxv. p. 43. et ibi Olearius.

[v] Vid. Quintil. i. 12. 15. Apuleius d. l. p. 2. Valer. Max. viii. 7. ext. 3. Augustin. C. D. viii. 4. Lactant. iv. 2. 4. Ambrosius in Ps. 118. n. 4. tom. i. p. 1195. Strabo xvii. p. 1159. Almelov. Theodoretus Θ. Π. i. p. 5. extr. Cyrillus Alex. i. p. 15. C. et p. 29. C. Justinus M. Paræn. p. 76. 85. 94. 103. Hutchin. Suidas v. δόγματα tom. i. p. 612.

[w] P. 316. 27. Bas. 1. sed in libris Platonis legitur nunc, τὸν Αἰγυπτίων θεόν.

[x] Ita correximus, auctoritatem Casauboni patris secuti: nam Casaubonus filius edidit τὸν θεόν.

ἐν τῷ Τιμαίῳ[y] φαίνεται τῆς θυτικῆς ἔμπειρος ὤν, σημεῖά τε λέγων ἥπατος καὶ σπλάγχνων, καὶ τοιαῦτά τινα. Ἀλλὰ ταῦτα μὲν πρὸ τῶν τριῶν[z] τῶν εἰς Σικελίαν ἀφίξεων ἔδει ῥηθῆναι. Ἀφικόμενος δὲ εἰς τὰς Ἀθήνας διδασκαλεῖον ἐν τῇ Ἀκαδημίᾳ συνεστήσατο μέρος τι τούτου τοῦ Γυμνασίου τέμενος ἀφορίσας ταῖς Μούσαις. Καὶ μόνῳ τῷ Πλάτωνι ἐνταῦθα Τίμων ὁ μισάνθρωπος συνῆν. Πολλοὺς δὲ πάνυ πρὸς μάθησιν ἀφείλκετο, καὶ ἄνδρας, καὶ γυναῖκας ἀνδρείῳ σχήματι, παρασκευάζων ἀκροᾶσθαι αὐτοῦ,[a] καὶ κρείττονα πάσης[b] φιλοπονίας τὴν ἑαυτοῦ φιλοσοφίαν ἐπιδεικνύς. Καὶ γὰρ καὶ τῆς Σωκρατικῆς εἰρωνείας ἀπήλλακτο, καὶ τοῦ ἐν ἀγορᾷ καὶ ἐπὶ τῶν ἐργαστηρίων διατρίβειν, καὶ τοὺς νέους θηρῶντα ποιεῖσθαι τοὺς λόγους. Ἀπήλλακτο δὲ καὶ τοῦ σεμνοῦ ὄρκου[c] τῶν Πυθαγορείων, τοῦ ἀποκεκλεισμένας ἔχειν τὰς θύρας, καὶ τοῦ Αὐτὸς ἔφα· πολιτικώτερον ἑαυτὸν παρέχων πρὸς ἅπαντας. Πολλοὺς τοίνυν ἐραστὰς αὐτοῦ καταστήσας, καὶ πλείστους ὠφελήσας,[d] μέλλων τελευτᾶν ἐνύπνιον εἶδεν, ὡς, κύκνος γενόμενος, ἀπὸ δένδρου εἰς δένδρον μετέρχεται, καὶ ταύτῃ πόνον πλεῖστον παρεῖχε τοῖς ἰξευταῖς. Ὁ Σιμμίας, ὁ Σωκρατικὸς, ἔκρινεν, ὅτι ἄληπτος ἔσται τοῖς μετ' αὐτὸν ἐξηγεῖσθαι βουλομένοις αὐτόν· ἰξευταῖς γὰρ ἐοίκασιν οἱ ἐξηγηταὶ, τὰς ἐννοίας τῶν ἀρχαίων πειρᾶσθαι βουλόμενοι· ἄληπτος δέ ἐστιν, ἐπειδὴ, καὶ φυσικῶς, καὶ ἠθικῶς, καὶ θεολογικῶς, καὶ ἁπλῶς πολλαχῶς, ἐστὶν ἀκούειν τῶν αὐτοῦ, καθάπερ καὶ τῶν Ὁμήρου. Δύο γὰρ αὗται ψυχαὶ λέγονται γενέσθαι παναρμόνιοι· διὸ παντοδαπῶς ἐστιν ἀκούειν ἀμφοτέρων. Ἀποθανόντος δ' αὐτοῦ, πολυτελῶς αὐτὸν ἔθαψαν οἱ Ἀθηναῖοι, καὶ ἐπέγραψαν ἐν τῷ τάφῳ αὐτοῦ, Τοὺς δύ' Ἀπόλλων[e] φῦσ', Ἀσκληπιὸν, ἠδὲ Πλάτωνα· Τὸν μὲν ἵνα ψυχὴν, τὸν δ' ἵνα σῶμα, σόοι. Καὶ ταῦτα μὲν περὶ τοῦ γένους τοῦ φιλοσόφου.

[y] P. 493. Bas. 1.

[z] Casaubonus filius edidit τῶν αἰτίων· sed ostendit simul rescribendum esse τῶν τριῶν· quod adeo nos recepimus.

[a] Vid. Menagius ad Laert. iii. 46. p. 155. B. a quo laudantur hæc ipsa Olympiodori verba, πολλοὺς δὲ—ἀκροᾶσθαι αὐτοῦ.

[b] Ita legendum vidit Isaacus Casaubonus: nam Mericus edidit κρείττον ἀπάσης.

[c] Ita emendari jussit Casaubonus filius: qui tamen e Cod. vet. edidit ὄγκου.

[d] Casaubonus filius edidit ἅπαντας * * * λήσας· quam lacunam ita expleri jubebat, ut legeretur, παρέχειν πρὸς ἅπαντας θελήσας· sed M. Meibomius legendum censebat παρέχων πρὸς ἅπαντας πλησιάζοντας. Nos vero ut constituimus locum, ita eum legi in Cod. Vindob. auctor est Lambecius d. l. p. 52.

[e] Ita M. Meibomius correxit. Quæ quidem emendatio præferenda videtur conjecturæ Menagii, a quo verba Olympiodori, ἀποθανόντος δ' αὐτοῦ—σῶμα σόοι, laudantur ad Laert. iii. 45. Is priorem versiculum ita legi jubebat, Ἀπόλλων δύο φῦσ', Ἀσκληπιὸν, ἠδὲ Πλάτωνα. Casaubonus enim edidit, Τοὺς δύο Ἀπόλλων φῦσ' —.

SENTENTIÆ ET JUDICIA

AUCTORUM QUORUNDAM VETERUM

UTRIUSQUE SERMONIS

DE PLATONE

EJUSQUE ORATIONE ET LIBRIS.

SENTENTIÆ ET JUDICIA

AUCTORUM QUORUNDAM VETERUM

UTRIUSQUE SERMONIS

DE PLATONE

EJUSQUE ORATIONE ET LIBRIS.

---

1. Ἀνάγκη δὴ τὸν ἐξ ἁπάντων συγκείμενον καλῶν ῥυθμῶν καλὸν εἶναι λόγον. Μυρία τοιαῦτά ἐστι καὶ παρὰ Πλάτωνι. Ὁ γὰρ ἀνὴρ εὐμέλειαν τε, καὶ εὐρυθμίαν, συνιδεῖν δαιμονιώτατος· καὶ εἴγε δεινὸς ἦν οὕτως ἐκλέξαι τὰ ὀνόματα, ὡς συνθεῖναι περιττὸς, καί νυ κεν, ἢ παρέλασσε τὸν Δημοσθένην κάλλους ἑρμηνείας ἕνεκεν, ἢ ἀμφήριστον ἔθηκε. Νῦν δὲ δὴ περὶ μὲν τὴν ἐκλογήν ἐστιν, ἃ διαμαρτάνει, καὶ μάλιστα, ἐν οἷς ἂν τὴν ὑψηλὴν, καὶ περιττὴν, καὶ ἐγκατάσκευον, διώκει φράσιν, ὑπὲρ ὧν ἑτέρωθί μοι δηλοῦται, σαφέστερον δὲ συντίθησι τὰ ὀνόματα, καὶ ἡδέως, καὶ καλῶς, νὴ Δία· καὶ οὐκ ἄν τις αὐτὸν ἔχοι κατὰ τοῦτο μέμψασθαι τὸ μέρος. Dionysius Halic. περὶ Συνθέσ. ὀνομάτων c. 18. p. 140. Upton.

2. Ὅτι γὰρ ἥδιστόν τε, καὶ κάλλιστον, ἐν λόγοις ἡ μεταβολὴ, πάντας εἰδέναι πείθομαι. Παράδειγμα δὲ αὐτῆς ποιοῦμαι πᾶσαν μὲν τὴν Ἡροδότου λέξιν, πᾶσαν δὲ τὴν Πλάτωνος, πᾶσαν δὲ τὴν Δημοσθένους. Ἀμήχανον γὰρ εὑρεῖν τούτων ἑτέρους ἐπεισοδίοις τε πλείοσι, καὶ ποικιλίαις εὐρωτέραις, καὶ σχήμασι πολυειδεστέροις, χρησαμένους· λέγω δὲ, τὸν μὲν ὡς ἐν ἱστορίας σχηματισμῷ· τὸν δὲ ὡς ἐν διαλόγων χάριτι· τὸν δὲ ὡς ἐν λόγων ἐναγωνίων χρείᾳ. Idem ibid. c. 19. p. 158.

3. Τῶν δ' ἄλλων, ὅσοι τὴν αὐτὴν ἐκείνῳ μεσότητα ἐπετήδευον, ὕστερον μὲν ἐκεῖνοι μακρῷ παρ' Ὅμηρον ἐξεταζόμενοι φαίνονται· ἂν· καθ'

ἑαυτοὺς δὲ εἰ θεωροίη τις αὐτοὺς, ἀξιοθέατοι·—φιλοσόφων δὲ, κατ' ἐμὴν δόξαν, Δημόκριτός τε, καὶ Πλάτων, καὶ Ἀριστοτέλης. Τούτων γὰρ ἑτέρους εὑρεῖν ἀμήχανον ἄμεινον κεράσαντας τοὺς λόγους. Idem ibid. c. 24. p. 220.

4. Πᾶσα λέξις ἡ δίχα μέτρου ἐγκειμένη, ποιητικὴν μοῦσαν, ἢ μελικὴν χάριν, οὐ δύναται προσλαβεῖν, κατὰ γοῦν τὴν σύνθεσιν αὐτήν· ἐπεὶ καὶ ἡ ἐκλογὴ τῶν ὀνομάτων μέγα τι δύναται, καὶ ἔστι τις ὀνομασία ποιητικὴ, γλωττηματικῶν τε, καὶ ξένων, καὶ τροπικῶν, καὶ πεποιημένων, οἷς ἡδύνεται ποίησις εἰς κόρον, ἐγκαταμιγέντων τῇ ἀμέτρῳ λέξει· ὃ ποιοῦσιν ἄλλοι τε πολλοὶ, καὶ οὐχ ἥκιστα Πλάτων. Idem ibid. c. 25. p. 226.

5. Ὁ δὲ Πλάτων τοὺς ἑαυτοῦ Διαλόγους κτενίζων, καὶ βοστρυχίζων, καὶ πάντα τρόπον ἀναπλέκων, οὐ διέλιπεν ὀγδοήκοντα γεγονὼς ἔτη.[a] Πᾶσι γὰρ δήπου τοῖς φιλολόγοις γνώριμα τὰ περὶ τῆς φιλοπονίας τἀνδρὸς ἱστορούμενα, τά τε ἄλλα, καὶ δὴ καὶ τὰ περὶ τὴν δέλτον, ἣν, τελευτήσαντος αὐτοῦ, λέγουσιν εὑρεθῆναι, ποικίλως μετακειμένην τὴν ἀρχὴν τῆς Πολιτείας ἔχουσαν τήνδε· Κατέβην χθὲς εἰς Πειραῖα μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος.[b] Idem ibid. c. 25. p. 242. s.

Sed quum reliqua Dionysii scripta rhetorica etiam abundent ejusmodi locis, ubi de orationis Platonicæ virtutibus judicium tulit; quum chartæ parcendum esse intelligamus, ut eos apponere integros non liceat: indicabimus tantum illorum sedes, quas admiratores eloquentiæ philosophi, atque æmulatores, adire ipsi, et inspicere, possint. Extant igitur illi Τέχνης c. 10. p. 60. s. c. 11. p. 62. Χαρακτ. τῶν παλαιῶν p. 70. Lys. p. 82. Dinarch. p. 115. Ep. ad Pompeium p. 125. ss. περὶ Δημοσθ. δεινότητος p. 165. s. 172. 177. 181. 183. 194. Tom. ii. Lips.

6. Ὁ μὲν γὰρ πολιτικὸς Πανηγυρικὸς τοιοῦτος· τῶν δὲ κατὰ λογογραφίαν Πανηγυρικῶν οὗτος κάλλιστος ὁ Πλατωνικός· καὶ τοῦτον παράδειγμα φαίημεν ἂν ἡμεῖς εἶναι τὸ ἄριστον τοῖς βουλομένοις τε, καὶ δυναμένοις, Πανηγυρικὸν λόγον ἐργάζεσθαι. Hermogenes περὶ Ἰδεῶν ii. 10. p. 480. Laurent.

7. Ὁρῶμεν γὰρ, πλὴν τῶν εἰρημένων χαρακτήρων ἐναντίων, πάντας μιγνυμένους πᾶσιν· οἷον τὰ Ὁμήρου τε ἔπη, καὶ τοὺς Πλάτωνος λόγους, καὶ Ξενοφῶντος, καὶ Ἡροδότου, καὶ ἄλλων πολλῶν, πολλὴν μὲν μεγαλοπρέπειαν καταμεμιγμένην ἔχοντας, πολλὴν δὲ δεινότητά τε, καὶ χάριν. Pseudodemetrius Phalereus περὶ Ἑρμ. s. 37.

[a] Vid. Cic. Cat. M. 5. Var. Lect. ix. 5. Muretus Var. Lect.
[b] Vid. Quintil. viii. 6. 64. Victorius xviii. 8. p. 1207. vol. ii. Thes. Gruter.

8. *Διὸ καὶ Πλάτων ἐπισφαλές τι δοκεῖ ποιεῖν, Μεταφοραῖς μᾶλλον χρώμενος, ἢ Εἰκασίαις.* Idem ibid. s. 80.

9. *Κἂν μετροειδῆ δὲ ᾖ, τὴν αὐτὴν ποιήσει χάριν· λανθανόντως δέ τοι παραδύεται ἡ ἐκ τῆς τοιαύτης ἡδονῆς χάρις. Καὶ πλεῖστον μὲν τὸ τοιοῦτον εἶδός ἐστι παρὰ τοῖς Περιπατητικοῖς, καὶ παρὰ Πλάτωνι —.* Idem ibid. s. 184.

10. *Πλάτων μέντοι ἐν πολλοῖς αὐτῷ τῷ ῥυθμῷ γλαφυρός ἐστιν ἐκτεταμένῳ πως, καὶ οὔτε ἕδραν ἔχοντι, οὔτε μῆκος· τὸ μὲν γὰρ ἰσχνὸν καὶ δεινὸν, τὸ δὲ μῆκος μεγαλοπρεπές· ἀλλ' οἷον ὀλίσθῳ τινὶ ἔοικε τὰ κῶλα, καὶ οὔτε μέτροις παντάπασιν, οὔτ' ἀμέτροις —.* Idem ibid. s. 186.

11. *Τὸ δὲ ἰδίως καλούμενον εἶδος Σωκρατικὸν, ὃ μάλιστα δοκοῦσι ζηλῶσαι Αἰσχίνης καὶ Πλάτων —.* Idem ibid. s. 319.

12. *Ὁπότε γὰρ οὐδὲ ὁ εὐφωνότατος τῶν ὄντων Πλάτων, εἰ καὶ πρὸς Ὅμηρον παραβάλλειν ἐθέλοις —. Εἰ γάρ τις ἐς τὰς Πλάτωνος φωνὰς ἐμπεσὼν, ἑτέρων δεῖται λόγων, καὶ εἴ τῳ ἐκεῖθεν τὸ φῶς ἀμαυρὸν δοκεῖ, καὶ ἥκιστα μετέχον αὐγῆς σαφοῦς, οὗτος οὐδ' ἂν τὸν Ἥλιον ἴδοι ἀνίσχοντα, οὐδὲ τὴν Σελήνην λαμπρυνομένην, οὐδὲ τὸν Ἕσπερον καταδυόμενον, οὐδὲ τὸν Ἑωσφόρον φθάνοντα.—Εἰκάζω δὴ τὴν μὲν πρώτην ὁμιλίαν τῶν Πλάτωνος λόγων μετάλλῳ τινὶ ἀτεχνῶς χρυσοῦ· τὸ δὲ ἐπὶ τούτῳ ἑτέρας δεῖται τέχνης, ἣ τὸ ληφθὲν δοκιμάζουσα, καὶ ἐκκαθαίρουσα λόγῳ, ὡς πυρὶ, χρῆσθαι ἤδη δύναται ἀκηράτῳ καὶ βεβασανισμένῳ τῷ χρυσῷ.* Maximus Tyr. Dissert. i. p. 2. s. Davis. min.

13. *Σοῦ, ὦ Πλάτων, ἥ τε μεγαλόνοια θαυμαστὴ καὶ ἡ καλλιφωνία δεινῶς Ἀττικὴ, καὶ τὸ κεχαρισμένον, καὶ πειθοῦς μεστὸν, ἥ τε σύνεσις, καὶ τὸ ἀκριβὲς, καὶ τὸ ἐπαγωγὸν ἐν καιρῷ τῶν ἀποδείξεων, πάντα ταῦτά σοι ἀθρόα πρόσεστιν.* Lucian. Revivisc. t. i. p. 402. Græv.

14. *Τί δεῖ περὶ Τιμαίου λέγειν, ὅπου γε καὶ οἱ ἥρωες ἐκεῖνοι, Ξενοφῶντα λέγω, καὶ Πλάτωνα, καίτοιγ' ἐκ τῆς Σωκράτους ὄντες παλαίστρας, ὅμως διὰ τὰ οὕτω μικροχαρῆ ἑαυτῶν ποτε ἐπιλανθάνονται;* Longinus περὶ ὕψους c. iv. 4.

15. *Ὅτι μέντοι Πλάτων—τοιούτῳ τινὶ χεύματι ἀψοφητὶ ῥέων, οὐδὲν ἧττον μεγεθύνεται—οὐκ ἀγνοεῖς.—Μόνος Ἡρόδοτος Ὁμηρικώτατος ἐγένετο; Στησίχορος ἔτι πρότερον, ὅ, τε Ἀρχίλοχος, πάντων δὲ τούτων μάλιστα ὁ Πλάτων ἀπὸ τοῦ Ὁμηρικοῦ ἐκείνου νάματος εἰς αὐτὸν μυρίας ὅσας παρατροπὰς ἀποχετευσάμενος.*[c] Idem ibid. c. 13. 1. et 3.

[c] Vid. Quintil. x. 1. 81. Telephus, Pergamenus, Grammaticus, scripserat περὶ τῆς Ὁμήρου καὶ Πλάτωνος συμφωνίας· v. Suidas v. Τήλεφος· ut Ammonius Alex-

16. Ἐπὶ γὰρ τούτοις καὶ τὸν Πλάτωνα οὐχ ἥκιστα διασύρουσι, πολλάκις, ὥσπερ ὑπὸ βακχείας τινὸς τῶν λόγων, εἰς ἀκράτους καὶ ἀπηνεῖς μεταφορὰς, καὶ εἰς ἀλληγορικὸν στόμφον, ἐκφερόμενον. Idem ibid. c. 32. 7.

17. Τούτοις δὲ ἐπιγενόμενος Πλάτων, ἀνὴρ ἐκ φύσεως ἀρτιτελὴς, καὶ πολὺ διενεγκὼν, οἷα κατάπεμπτος ὡς ἀληθῶς ἐκ θεῶν, ἵν' ὁλόκληρος ὀφθῇ ἡ δι' αὐτοῦ φιλοσοφία, παρῆκέ τε οὐδὲν, καὶ ἕκαστα ἠκρίβωσε, μήτε ἐλλείπων πρὸς τὸ ἀναγκαῖον, μήτε πρὸς τὸ ἄχρηστον ἐξενεχθείς. Atticus Platonicus ap. Euseb. P. E. ii. 2. p. 509. s. Colon.

18. Ἆρ' οὖν ὁ πάμμεγας Πλάτων διὰ τοῦτο ἡσυχῇ ἔμεινεν, ἐπὶ τοῦ σκίμποδος καὶ τοῦ δωματίου; καὶ τίς οὕτω πολυπράγμων, ἢ καινοτόμος, ὃς πρῶτον σποράδην οἰκοῦσαν φιλοσοφίαν ξυνῴκισε καὶ συνήγαγεν, ὥσπερ Θησεὺς τὰς Ἀθήνας; Τέως δὲ τριχῇ διεσπάσθη, μᾶλλον δὲ τέτραχα· καὶ χωρὶς μὲν ἦσαν Ἰταλιώτιδες Μοῦσαι, χωρὶς δὲ αἱ Σικελικαὶ, χωρὶς δὲ ὁ χορὸς τῶν Ἰάδων· αἱ μὲν τὰ θεῖα μαντεύουσαι, αἱ δὲ ὑπὲρ τῆς φύσεως μεριμνῶσαι· τούτων δὲ μακρὰν ἀπεσκήνουν αἱ περὶ κακίας καὶ ἀρετῆς. Ἐν Αἰγύπτῳ δὲ μόνον ἐφιλοχώρει τὰ μαθήματα. Ταῦτα δὲ οὖν ἅπαντα ξυνήρμοσε πρῶτον, ὥσπερ μέλη ἑνὸς ζώου διερριμμένα, καὶ σύμπνοα ἔδειξε καὶ ὁμοιοπαθῆ, καὶ οὐχ οἷόν τε, ἕν τι αὐτῶν ἀποτεμόντα μὴ οὐ κολοβόν τε, καὶ ἔμπηρον, ἔχειν. Πρὸς δὲ καὶ ἕτερα πάμπολλα ἐπεισηνέγκατο καὶ εἰσήγαγε λόγου ἰδέαν κερασάμενος ἐκ ποιήσεως καὶ ψιλομετρίας[a] . . . τοὺς ἐρωτῶντας, καὶ ἀποκρινομένους, καὶ διηγουμένους, ὑφ' ὧν κατεχόμεθα,[a] ἅτε τις ἄνθρωπος, καὶ αἱρόμεθα ἀπὸ τῆς γῆς. Themistius Orat. xv. p. 362. s. Petav.

19. Ἐπεὶ καὶ Πλάτων ἐξομνύμενος φαίνεται τὰ ξυγγράμματα. Οὐ γάρ ἐστι Πλάτωνος ξύγγραμμα οὐδὲν, οὔτ' ἔσται· τὰ δὲ νῦν φερόμενά ἐστι Σωκράτους, ἀνδρὸς καλοῦ καὶ νέου. Julianus Orat. vi. p. 189. Spanhem. add. Orat. vii. p. 214. s.

20. Καὶ μέντοι καὶ Πλάτων ἐκεῖνος, ὁ Ἀρίστωνος μὲν υἱὸς, Σωκράτους δὲ φοιτητὴς, εὐστομίᾳ δὲ ἅπαντας ἀποκρύψας, οὐκ ὤκνησεν ἕνεκα τοῦ τἀληθὲς ἐξευρεῖν, καὶ Αἴγυπτον περινοστῆσαι, καὶ Θήβας τὰς Αἰγυπτίας, καὶ Σικελίαν, καὶ Ἰταλίαν. Theodoretus Ἑλλην. παθημ. Θεραπ. i. p. 5. Sylb.

21. Ὅτι δὲ καὶ οὗτος (Plato), ὁ πάντας ἀνθρώπους, καὶ οὐ τοὺς

andrinus περὶ τῶν ὑπὸ Πλάτωνος μετενηνεγμένων ἐξ Ὁμήρου· qui ejus libellus laudatur ab Homeri scholiasta Veneto: v. Villoisonus Anecd. Gr. tom. ii. p. 184. et Metrophanes, Lebadiensis, Sophista, περὶ τῶν χαρακτήρων Πλάτωνος, Ξενοφῶντος, Νικοστράτου, Φιλοστράτου· v. Suidas v. Μητροφάνης· cujus verba descripsit Eudocia Ion. p. 301.

[a] Vid. Quintil. x. 1. 81. Hoc de dicendi genere Platonis separatim scripsit Joh. Frider. Hillerus, Viteb. A. C. 1763.

ἄλλους Ἕλληνας μόνον, ἀλλὰ καὶ αὐτοὺς Ἀθηναίους, εὐγλωττίᾳ, καὶ ὀνομάτων κάλλει, πάμπαν ἀποκρύψας, μὴ τῇ κομψείᾳ τῶν λόγων, ἀλλὰ τῇ τῶν ἐνθυμημάτων ἁρμονίᾳ, προσέχειν παρεγγυᾷ —. Idem ibid. p. 9.

22. Σωκράτους μὲν γὰρ τὰ ἐνθυμήματα, Πλάτωνος δὲ τὰ ξυγγράμματα. Idem ibid. ii. p. 23.

At v. Valquenarius ad Xen. Memor. p. 238. s. et p. 251. et ipse Theodoret. d. l. vii. p. 109. extr.

23. Καὶ ὁρῶν τῆς κλοπῆς τὰ φώρια, τῷ Πυθαγορικῷ Νουμηνίῳ πιστεύσει, λέγοντι, Τί γάρ ἐστι Πλάτων, ἢ Μωϋσῆς Ἀττικίζων; Διὰ γὰρ δὴ τούτων ἀναφανδὸν ἔδειξεν ὁ Νουμήνιος, ὡς, ὁπόσα Πλάτων εὐσεβῶς εἴρηκεν, ἐκ τῆς Μωϋσοῦ θεολογίας σεσύληκεν. Idem ibid. ii. p. 37.

Vid. Gataquerus de stylo N. T. c. 44. p. 155. s. et Clericus Epp. Critt. ep. 7.

Legi etiam possunt Epigrammata variorum poëtarum Græcorum, quæ in Anthologia extant, i. 86. p. 118. iii. 1. p. 191. iii. 33. p. 288. s. a iv. 33. p. 380. v. p. 386. et p. 507. Steph. item Origenes c. Cels. vi. p. 275. Spenc. et Isidorus Pelusiota Epp. iv. 55. p. 25.

24. Sed ego, neque illis assentiebar, neque harum disputationum inventori, et principi, longe omnium in dicendo gravissimo, et eloquentissimo, Platoni, cujus tum Athenis cum Charmada diligentius legi Gorgiam: quo in libro hoc maxime admirabar Platonem, quod mihi in oratoribus irridendis ipse esse orator summus videbatur.—Et si Plato de rebus a civilibus controversiis remotissimis divinitus est locutus: quod ego concedo:— qui discernes eorum, quos nominavi, ubertatem in dicendo, et copiam, ab eorum exilitate, qui hac dicendi varietate, et elegantia, non utuntur? Cic. Orat. i. 11.

25. At hoc ne philosophi quidem ipsi, qui omnia, sicut propria, sua esse, atque a se possideri, volunt, dicere audent, geometriam, aut musicam, philosophi esse, quia Platonem omnes in illis artibus præstantissimum fuisse fateantur. Idem ibid. c. 50.

26. Neque enim quisquam nostrum, cum libros Platonis mirabiliter scriptos legit, in quibus omnibus fere Socrates exprimitur, non, quanquam illa scripta sunt divinitus, tamen majus quiddam de illo, de quo scripta sunt, suspicatur. Idem ibid. iii. 4.

27. Cujus (Socratis) ingenium, variosque sermones, immor-

talitati scriptis suis Plato tradidit, cum ipse litteram Socrates nullam reliquisset. Idem ibid. iii. 16. add. ibid. iii. 34.

28. Quis enim uberior in dicendo Platone? Jovem aiunt philosophi, si Græce loquatur, sic loqui.—Lectitavisse Platonem studiose, audivisse etiam, Demosthenes dicitur: idque apparet ex genere et granditate verborum:[e] dicit etiam in quadam epistola hoc ipse de sese (v. Orat. iv.) Idem Brut. 31.

29. Nec enim posset idem Demosthenes dicere, quod dixisse Antimachum, Clarium poëtam, ferunt: qui cum, convocatis auditoribus, legeret eis magnum illud, quod novistis, volumen suum, et eum legentem omnes, præter Platonem, reliquissent, 'Legam,' inquit, 'nihilo minus: Plato enim mihi unus instar est omnium millium.' et recte. Idem ibid. c. 51.

30. Nec vero Aristotelem in philosophia deterruit a scribendo amplitudo Platonis. Idem Orat. c. 1.

31. Has rerum formas appellat ideas ille, non intelligendi solum, sed etiam dicendi, gravissimus auctor, et magister, Plato, easque gigni negat, et ait, semper esse, ac ratione et intelligentia contineri: cætera nasci, occidere, fluere, labi —. Illa enim sunt curricula multiplicium, variorumque, sermonum, in quibus Platonis primum impressa sunt vestigia: sed, et hujus, et aliorum philosophorum, disputationibus, et exagitatus maxime orator est, et adjutus. Omnis enim ubertas, et quasi sylva dicendi, ducta ab illis est, nec satis tamen instructa ad forenses caussas. Idem ibid. c. 3.

32. Quanquam enim et philosophi quidam ornate locuti sunt: —et longe omnium, quicunque scripserunt, aut locuti sunt, extitit et gravitate princeps Plato: tamen horum oratio, neque nervos, neque aculeos oratorios, ac forenses, habet —. Idem ibid. c. 19.

33. Itaque video visum esse nonnullis, Platonis, et Democriti, locutionem, etsi absit a versu, tamen, quod incitatius feratur, et clarissimis verborum luminibus utatur, potius poëma putandum, quam comicorum poëtarum. Idem ibid. c. 20.

34. In quo quidam etiam Theopompum reprehendunt, quod eas litteras (vocales) tanto opere fugerit: etsi id magister ejus, Isocrates: at non Thucydides: ne ille quidem, haud paulo

[e] Isidorus Pelusiota Epp. iv. 91. p. ἀποδέχονται.
43. οἱ μὲν γὰρ τὸ ὕψος τοῦ Πλάτωνος

major scriptor, Plato : nec solum in his sermonibus, qui dialogi dicuntur, ubi etiam de industria id faciendum fuit, sed in populari oratione, qua mos est Athenis laudari in concione eos, qui sint in præliis interfecti : quæ sic probata est, ut eam quotannis, ut scis, illo die recitari necesse sit. In ea est crebra ista vocalium concursio, quam magna ex parte, ut vitiosam, fugit Demosthenes. Idem ibid. c. 44.

35. At loquitur pulcre (Thucydides). Num melius, quam Plato?—quem (Isocratem) divinus auctor, Plato, suum fere æqualem admirabiliter in Phædro laudari fecit a Socrate —. Idem de optimo genere oratorum c. 6.

36. Virum unum totius Græciæ facile doctissimum, Platonem —. Idem pro Rabir. Posth. c. 9.

37. Atque ille quidem princeps ingenii et doctrinæ, Plato, tum denique fore beatas respublicas putavit, si, aut docti ac sapientes homines eas regere cœpissent, aut ii, qui regerent, omne suum studium in doctrina ac sapientia collocassent. Idem ad Q. Fr. i. ep. 1. 10.

38. Platonis autem auctoritate, qui varius, et multiplex, et copiosus, fuit, una et consentiens duobus vocabulis philosophiæ forma instituta est, Academicorum et Peripateticorum. Idem Acad. 1. 4.

39. Cujus (Platonis) in libris nihil affirmatur, et in utramque partem multa disseruntur, de omnibus quæritur, nihil certi dicitur. Idem ibid. c. 12.

40. Ita multi sermones perscripti sunt, e quibus dubitari non possit, quin Socrati nihil sit visum sciri posse. Excepit unum tantum, scire se, nihil se scire, nihil amplius. Quid dicam de Platone? qui certe tam multis libris hæc persecutus non esset, nisi probavisset. Ironiam enim alterius, perpetuam præsertim, nulla fuit ratio persequi. Idem ibid. iv. 23.

41. Plato omne judicium veritatis, veritatemque ipsam, abductam ab opinionibus, et a sensibus, cogitationis ipsius, et mentis, esse voluit. Idem d. l. c. 46.

42. Quanquam si plane sic verterem Platonem, aut Aristotelem —: male, credo, mererer de meis civibus, si ad eorum cognitionem divina illa ingenia transferrem.—Locos quidem quosdam, si videbitur, transferam, et maxime ab iis, quos modo nominavi, cum inciderit, ut id apte fieri possit. Idem Fin. i. 3.

43. Credamus igitur Panætio, a Platone suo dissentienti. Quem enim omnibus locis divinum, quem sapientissimum, quem sanctissimum, quem Homerum philosophorum, appellat, hujus hanc unam sententiam de immortalitate animorum non probat. Idem Tusc. i. 32.

44. Cujus (Socratis) multiplex ratio disputandi, rerumque varietas, et ingenii magnitudo, Platonis memoria, et litteris, consecrata, plura genera effecit dissentientium philosophorum. Idem ibid. v. 4.

45. Audiamus enim Platonem, quasi quendam deum philosophorum. Idem N. D. ii. 12.

46. Sed, ut vir doctissimus fecit Plato, atque idem gravissimus philosophorum omnium, qui princeps de republica conscripsit, idemque separatim de legibus ejus, id mihi credo esse faciendum. Idem Legg. ii. 6.

47. M. Sequar igitur, ut institui, divinum illum virum, quem, quadam admiratione commotus, sæpius fortasse laudo, quam necesse est. Att. Platonem videlicet dicis. M. Istum ipsum, Attice. Att. Tu vero eum, nec nimis valde unquam, nec nimis sæpe, laudaveris. Nam hoc mihi etiam nostri illi, qui neminem, nisi suum, laudari volunt, concedunt, ut eum arbitratu meo diligam. Idem Legg. iii. 1.

48. Equidem et Platonem existimo, si genus forense dicendi tractare voluisset, gravissime et copiosissime potuisse dicere. Idem Off. i. 1.

49. Si quod tamen exemplum ad imitationem demonstrandum sit, solum est, quod ex dialogis Socraticorum, maximeque Platonis, duci potest: in quibus adeo scitæ sunt interrogationes, ut, cum plerisque bene respondeatur, res tamen ad id, quod volunt efficere, perveniat. Quintil. Instit. Orat. v. 7. 28.

50. Quamvis enim vincta sit, tamen soluta videri debet oratio. Atqui Plato, diligentissimus compositionis, in Timæo, prima statim parte, vitare ista non potuit. Nam et initium hexametri statim invenias, et Anacreontion protinus colon efficias, et si velis trimetron, et quod duobus pedibus et parte, πενθημιμερὲς a Græcis dicitur: et hæc omnia in tribus verbis. Idem ix. 4. 77. s.

51. Philosophorum, ex quibus plurimum se traxisse eloquentiæ M. Tullius confitetur, quis dubitet Platonem esse præci-

cipuum, sive acumine disserendi, sive eloquendi facultate divina quadam et Homerica? multum enim supra prosam orationem, et quam pedestrem Græci vocant, surgit: ut mihi non hominis ingenio, sed quodam Delphico videatur oraculo instinctus. Idem x. 1. 81.

52. Nam mihi videtur M. Tullius, cum se totum ad imitationem Græcorum contulisset, effinxisse vim Demosthenis, copiam Platonis, jucunditatem Isocratis. Idem ibid. s. 108.

53. Quæ tandem ars digna litteris Platoni defuit? Idem xii. 11. 21.

54. Plato autem patriam Athenas, præceptorem Socratem, sortitus, et locum, et hominem, doctrinæ fertilissimum, ingenii quoque divina instructus abundantia, cum omnium jam mortalium sapientissimus haberetur, eo quidem usque, ut, si ipse Jupiter cœlo descendisset, nec elegantiore, nec beatiore, facundia usurus videretur: Ægyptum peragravit, dum a sacerdotibus ejus gentis Geometriæ multiplices numeros, atque cœlestium observationum rationem, percipit. Quoque tempore a studiosis juvenibus certatim Athenæ Platonem doctorem quærentibus petebantur, ipse Nili fluminis inexplicabiles ripas, vastissimosque campos, effusam barbariem, et flexuosos fossarum ambitus, Ægyptiorum senum discipulus lustrabat. Quo minus miror, eum in Italiam transgressum, ut ab Archyta Tarenti, a Timæo, et Acrione, et Echecrate, Locris, Pythagoræ præcepta et instituta acciperet.[f] Tanta enim vis, tanta copia, litterarum undique colligenda erat, ut invicem per totum terrarum orbem dispergi et dilatari posset. Altero etiam et octogesimo anno decedens, sub capite Sophronis mimos habuisse fertur. Sic ne extrema quidem ejus hora agitatione studii vacua fuit. Valerius Max. viii. 7. ext. 3. add. Augustinus C. D. viii. 4. 11.

55. Favorinus de Lysia et Platone solitus est dicere, Si ex Platonis, inquit, oratione verbum aliquod demas, mutesque, atque id commodissime facias, de elegantia tantum detraxeris: si ex Lysiæ, de sententia. Gellius N. A. ii. 5.

56. Apud Platonem quoque multis in locis reperias syllogismos, repudiato, conversoque, isto ordine, qui in docendo tra-

[f] Συμφωνίαν Ὀρφέως, Πυθαγόρου, καὶ Πλάτωνος, scripserant Proclus Lycius, et Syrianus Alexandrinus. v. Suidas v. Πρόκλος et Συριανὸς, et Eudocia in Ion. p. 366. et p. 389.

ditur, cum eleganti quadam reprehensionis contemtione, positos esse. Idem ibid. c. 8.

57. Memoriæ mandatum est, Platonem philosophum tenui admodum pecunia familiari fuisse, atque eum tamen tres Philolai Pythagorici libros decem millibus denarium mercatum. Id ei pretium donasse quidam scripserunt amicum ejus, Dionem Syracosium.—Timon amarulentus librum maledicentissimum conscripsit, qui Σίλλος inscribitur. In eo libro Platonem philosophum, quem dixeramus tenui admodum pecunia familiari fuisse, contumeliose appellat, quod impenso pretio librum Pythagoricæ disciplinæ emisset, exque eo Timæum, nobilem illum dialogum, concinnasset. Versus super ea re Timonis hi sunt, *Καὶ σὺ Πλάτων· καὶ γάρ σε μαθητὴν ὁ πόθος ἔσχε· Πολλῶν δ' ἀργυρίων ὀλίγην ἠλλάξαο βίβλον· Ὅθεν ἀπαρχόμενος γράφειν ἐδιδάχθης.* Idem iii. 17.

58. Proinde igitur, et Xenophon, et Plato, Socraticæ amœnitatis duo lumina, certare, æmularique, inter sese existimati sunt, quia de iis apud alios, uter esset exsuperantior, certabatur, et quia duæ eminentiæ, quum simul junctæ in arduum nituntur, simulacrum quoddam contentionis æmulæ pariunt. Idem xiv. 3. add. Idem xvii. 20. et omnino Freculphus, episcopus Lexoviensis, Chronic. i. 4. 14.

59. Plato, qui omnium sapientissimus judicatur—quem Cicero secutus atque imitatus in plurimis. Lactant. Institut. Divin. i. 5. 23. s.

60. Non enim de Socrate, aut Platone, hoc saltem dicebat, qui velut reges habentur philosophorum. Idem ibid. iii. 17. 29.

DE PLATONE

ET EJUS SCRIPTIS ATQUE INTERPRETIBUS

DISSERTATIO

JOH. ALB. FABRICII

BIBLIOTH. GRÆCÆ LIB. III. CAP. I.

DE PLATONE

ET EJUS SCRIPTIS ATQUE INTERPRETIBUS

DISSERTATIO

JOH. ALB. FABRICII

BIBLIOTH. GRÆCÆ LIB. III. CAP. I.

I. Platonis nomen, ætas, et vita. Alii Platones, circiter viginti. II. De dictione, ac Philosophia, Platonis, moreque tradendi per Dialogos. III. Scripta Platonis genuina, recensita secundum ordinem Tetralogiarum Thrasylli, adjunctis variis observationibus, et interpretum veterum recentiumque notitia. IV. Scripta Platonis dubia atque supposita. V. Deperdita Platonis scripta. VI. Index Alphabeticus eorum, qui in Dialogis Platonis colloquentes inducuntur. VII. De editionibus Operum Platonis Græcis, Latinis, Græcolatinis, et vernacularum linguarum aliqua vulgatis. VIII. Scripta varia de Platone, et Platonica Philosophia, in varias classes digesta, et ordine recensita.

I. PLATO[a] Aristonis et Perictiones F. e Colytto pago, Atheniensis: primum avi sui nomine dictus Aristocles.[b] Natus est

[a] Platonis nomen accepit a Socrate, ut Tzetzes affirmat, sive, ut alii, ab Aristone Argivo, Palæstrita: vel 1. ob humerorum latitudinem Serv. in vi. Æneid. vel 2. ob latitudinem pectoris Sen. Epist. 58. ὅτι πλατύσωμος Tzetz. Chil. 6. Hist. 51. Chil. 11. Hist. 390. πλατὺς τὰ στέρνα Olympiodor. Hesych. Illustris, Suid. et Joh. Sarisberiensis 7. 5. Policratici: vel 3. ob latitudinem frontis, Neanthes Cyzic. apud Laertium iii. 4. Hesych. Illustris, Olympiodor. vel 4. διὰ τὴν εὐεξίαν, sive *bonam habitudinem corporis*, Alexander Polyhist. apud Laertium; Apuleius de Dogm. Platonis: vel 5. propter πλατὺ, sive *copiosum atque apertum dicendi genus*; 'latitudinem' vocat Plinius lib. i. Epist. 10. Laert. Hesychius Illustris, Suid. Olympiodor. 6. Denique Timon in Sillis nomen Platonis perstrinxit, tanquam dictum a verbo πλᾶσαι, quod est *fingere* ac *comminisci*: ὡς ἀνέπλασε Πλάτων πεπλασμένα θαύματα εἰδὼς, apud Laert. iii. 26. Athenæum xi.

sex post Isocratem annis, die 7. Thargelionis Olympiad. 87. 3.' ante Christum 430. Archonte Apollodoro. Anno ætatis vige-

§. 28. καὶ δὴ καὶ ἔτι ἐπεξῄει τῷ λόγῳ] *Persequebatur argumentum, rem uberius et copiosius explicabat.* Gorg. p. 482. D. Οὐκ ἀγεννῶς γε, ὦ Καλλίκλεις, ἐπεξέρχῃ τῷ λόγῳ παῤῥησιαζόμενος. de rep. i. p. 349. A. Ἀλλ' οὐ μέντοι—ἀποκνητέον γε τῷ λόγῳ ἐπεξελθεῖν σκοπούμενον, ἕως ἂν σε ὑπολαμβάνω λέγειν ἅπερ διανοῇ.—Μεγαλοπρεπέστερον vulgo junctum sequenti λέγων, traxi ad ἐπεξῄει i. e. *majore quadam sui fiducia et superbiore spiritu.* Hipp. Min. p. 366. E. Καί μοι, ὥσπερ τὰ πρότερα, γενναίως καὶ μεγαλοπρεπῶς ἀπόκριναι. Theæt. p. 161. C. Ἵνα μεγαλοπρεπῶς καὶ πάνυ καταφρονητικῶς ἤρξατο ἡμῖν λέγειν. Heind.

§. 29. εὖ γὰρ ἔλεγεν] *Ornate enim dicebat.* Fuit autem hæc Heracliti argumentatio. Vid. quæ ex Aristotele protuli ad §. 25. Diog. Laert. ix. 1. 8. Plato Sympos. p. 187. A. Proclus ad Tim. Plat. i. p. 24.—Mox verba φῶμεν ἄρα τὸ ἐναντίον—εἶναι sono interrogante expressi. Heind.

εἶεν, ἦν δ' ἐγώ· οὐκ ἀλλοκότως, ὦ Μεν.] Sic vertit Ficinus: *sit ita, o Menexene. Sed quæso, nonne alienum hoc et extraneum?* ut suspicetur aliquis ἀλλ' οὐκ ἀλλοκότως; sed sæpius ita infertur post εἶεν interrogatio, particula transeundi non addita. Gorg. p. 489. C. Εἶεν, ὦ σοφώτατε Καλλίκλεις· οὕτω λέγεις; de rep. i. p. 341. A. Εἶεν, ἦν δ' ἐγὼ, ὦ Θρασύμ.· δοκῶ σοὶ συκοφαντεῖν; Paullo post vulgo perperam sine distinctione Ἆρ' οὖν φήσουσι τὸ ἐχθρόν. Heind.

ὅτι ἀληθῆ λέγουσιν; Ἀνάγκη. Ἆρ' οὖν, φήσουσι, τὸ ἐχθρὸν τῷ φίλῳ φίλον ἢ τὸ φίλον τῷ ἐχθρῷ; Οὐδέτερα, ἔφη. Ἀλλὰ τὸ δίκαιον τῷ ἀδίκῳ, ἢ τὸ σῶφρον τῷ ἀκολάστῳ, ἢ τὸ ἀγαθὸν τῷ κακῷ; Οὐκ ἄν μοι δοκεῖ[p] οὕτως ἔχειν.
I. i. 133. Ἀλλὰ μέντοι, ἦν δ' ἐγώ, εἴ πέρ γε κατὰ τὴν ἐναντιότητά τι[q] τῷ φίλῳ φίλον ἐστίν,[r] ἀνάγκη καὶ[s] ταῦτα φίλα εἶναι. Ἀνάγκη. Οὔτε ἄρα τὸ ὅμοιον τῷ ὁμοίῳ οὔτε τὸ ἐναντίον τῷ ἐναντίῳ φίλον. Οὐκ ἔοικεν. Ἔτι[t] δὲ καὶ τόδε σκεψώμεθα, μὴ ἔτι μᾶλλον ἡμᾶς λανθάνει[u] τὸ φίλον ὡς ἀληθῶς οὐδὲν[v] τούτων ὄν, ἀλλὰ τὸ μήτε ἀγαθὸν μήτε κακὸν φίλον οὕτω ποτὲ γιγνόμενον τοῦ ἀγαθοῦ. Πῶς, ἦ δ' ὅς, λέγεις; Ἀλλὰ μὰ Δί',[w] ἦν δ' ἐγώ, οὐκ οἶδα, ἀλλὰ τῷ ὄντι αὐτὸς ἰλιγγιῶ ὑπὸ τῆς τοῦ λόγου ἀπορίας. καὶ κινδυνεύει κατὰ τὴν ἀρχαίαν παροιμίαν τὸ καλὸν φίλον εἶναι. [§. 30.] Ἔοικε[x] γοῦν μαλακῷ τινὶ καὶ λείῳ[y] καὶ λιπαρῷ· διὸ καὶ ἴσως ῥᾳδίως διολισθαίνει καὶ διαδύεται[z] ἡμᾶς, ἅτε τοιοῦτον ὄν. λέγω γὰρ τἀγαθὸν καλὸν εἶναι. σὺ[a] δ' οὐκ οἴει; Ἔγωγε. Λέγω τοίνυν ἀπομαντευόμενος, τοῦ καλοῦ τε κἀγαθοῦ[b] φίλον εἶναι τὸ μήτε ἀγαθὸν μήτε κακόν.[c] πρὸς ἃ δὲ λέγων μαντεύομαι, ἄκουσον. δοκεῖ μοι ὡσπερεὶ[d] τρία ἄττα εἶναι γένη, τὸ μὲν ἀγαθόν, τὸ δὲ κακόν, τὸ δ' οὔτ' ἀγαθὸν οὔτε κακόν. τί δὲ[e] σοί; Καὶ ἐμοί, ἔφη. Καὶ οὔτε τἀγαθὸν τἀγαθῷ[f] οὔτε τὸ κακὸν τῷ κακῷ οὔτε τἀγαθὸν τῷ κακῷ

p δοκεῖ ΑΘΞΕε, δοκεῖ (η) Γ : δοκῇ *ς.—q τι om f.—r εἶναι f.—s καὶ om Σε.—t ἔτι μᾶλλον om ΑΘ.—u λανθάνει ΑΘΞΒCuyεγ et pr Γ : λανθάνῃ ς.—v μηδὲν γ.—w δί' Γf.—x ἔοικα y.—y καὶ λείῳ om pr Ξ.—z διαλύεται γ.—a οὐ Σ.—b κἀγαθοῦ Γ : καὶ ἀγαθοῦ *ς.—c καλόν Γ.—d ὥσπερ εἰ Α.—e δαὶ corr Α.—f ἀγαθῷ Σ.—g δὴ Hein-

οὐκ ἄν μοι δοκεῖ] Vulgo δοκῇ. Statim post in his εἴπερ γε κατὰ τὴν ἐναντιότητά τί τῳ φίλον ἐστὶ, libri editi habent τι τῷ φίλῳ φίλον ἐστὶ, in quibus istud φίλῳ ad τῳ pro τινι falso adjectum verissime judicavit Cornarius, neque hoc agnoscit Ficini versio: *si secundum contrarietatem amicum est alicui aliquid.* Igitur textu ejeci, mutato τῷ in τῳ. Heind.

οὕτω ποτὲ] [Similiter] Aristoph. Vesp. 1177. Οὕτω ποτ' ἦν μῦς καὶ γαλῆ. ubi vid. Schol. Et conf. ad Phædr. §. 29. De adagio mox laudato τὸ καλὸν φίλον εἶναι vid. Mureti Var. Lectt. iv. 4. Heind.

§. 30. πρὸς ἃ δὲ λέγων] Correxit aliquis βλέπων. Perperam. Meno. p. 97. D. Πρὸς τί δὲ δὴ τοῦτο λέγεις; et post ibid. E. πρὸς τί οὖν δὴ λέγω ταῦτα; Sophist. p. 232. E. πρὸς τί μάλιστα λέγεις; Phileb. p. 25. D. Ποῖ καὶ πῶς λέγεις; De sententia, quæ sequitur, conf. Gorg. p. 467. E. Deinde vulgo sic scriptum: Καὶ ἐμοί, ἔφη· καὶ οὔτε τἀγαθόν. Sed illa Καὶ οὔτε τἀγαθὸν etc. Socratis sunt verba, non Menexeni. Heind.

φίλον εἶναι, ὥς περ οὐδ' ὁ ἔμπροσθεν λόγος ἐᾷ. λείπεται δή,[g] εἴ πέρ τῳ τί ἐστι φίλον, τὸ μήτε ἀγαθὸν μήτε κακὸν φίλον εἶναι ἢ τοῦ ἀγαθοῦ ἢ[h] τοῦ[i] τοιούτου οἷον αὐτό[j] ἐστιν. οὐ γὰρ ἄν που τῷ κακῷ φίλον ἄν τι γένοιτο. Ἀληθῆ. Οὐδὲ μὴν τὸ ὅμοιον τῷ ὁμοίῳ ἔφαμεν ἄρτι. ἦ γάρ; Ναί. Οὐκ ἄρ'[k] ἔσται τῷ μήτε ἀγαθῷ μήτε κακῷ τὸ τοιοῦτον φίλον οἷον αὐτό. Οὐ φαίνεται. Τῷ ἀγαθῷ ἄρα τὸ μήτε ἀγαθὸν μήτε κακὸν μόνῳ[l] μόνον συμβαίνει γίγνεσθαι φίλον.[m] Ἀνάγκη, ὡς ἔοικεν. [§. 31.] Ἆρ' οὖν καὶ[n] καλῶς, ἦν δ' ἐγώ, ὦ παῖδες, ὑφηγεῖται ἡμῖν[o] τὸ νῦν λεγόμενον; εἰ γοῦν θέλοιμεν[p] ἐννοῆσαι, τὸ ὑγιαῖνον σῶμα οὐδὲν ἰατρικῆς δεῖται οὐδὲ ὠφελείας·[q] ἱκανῶς γὰρ ἔχει, ὥστε ὑγιαίνων οὐδεὶς ἰατρῷ φίλος διὰ τὴν ὑγίειαν. ἦ γάρ; Οὐδείς. Ἀλλ' ὁ κάμνων, οἶμαι, διὰ τὴν νόσον. Πῶς γὰρ οὔ; Νόσος[r] μὲν[s] δὴ κακόν, ἰατρικὴ δὲ ὠφέλιμον καὶ ἀγαθόν. Ναί. Σῶμα δέ γέ που κατὰ τὸ σῶμα εἶναι οὔτε ἀγαθὸν οὔτε κακόν. Οὕτως. Ἀναγκάζεται δέ γε σῶμα διὰ νόσον ἰατρικὴν i. i. 134. ii. 217.

dorfius: libri δ'.—[h] ἢ οὐ ΞBCEuyεr.—[i] τοῦ om E.—[j] αὐτό om f.—[k] ἄρ' Γ.—[l] μόνῳ μόνον ΑΓΘΞ: μόνον μόνῳ *s.—[m] φίλον om ΑΘ.—[n] καὶ om f.—[o] ὑμῖν f.—[p] θέλομεν Σ.—[q] ὠφελίας Auye.—[r] : νόσος Γ.—[s] δὲ r.—[t] ὅτι om Σ.—[u] ἔτι Salvi-

λείπεται δὴ, εἴπέρ τῳ τἰ ἐστὶ φίλον] Post λείπεται rescripsi δὴ pro δὲ, sensu flagitante. §. 33. λείπονται δὴ οἱ ἔχοντες. Phædr. §. 24. λείπεται δὴ, οἶμαι. Heind.

οὐ τοῦ] Hanc negativam particulam Fic. quoque hoc in loco minime agnoscit. Steph.

Argumentatur Plato hunc in modum, Tria esse genera, et bonum et malum et quod neque bonum neque malum sit: neque vero bonum amicum esse bono, neque malum malo, neque bonum malo: relinqui igitur, ut, si quid horum alteri sit amicum, illud neque bonum neque malum sit amicum aut bono, aut tali, quale ipsum est; nam malo id amicum esse non posse: jam vero, quum simile simili amicum esse nequeat, unum hoc relinqui, ut illud neque bonum neque malum amicum sit bono.—In hac igitur clara argumentatione liquet particulam οὐ vulgo male inculcatam fuisse ante τοῦ τοιούτου. Vidit hoc Cornarius, præeunte, ut Steph. monuit, Ficino. Itaque expunxi. Heind.

§. 31. ἆρ' οὖν καὶ καλῶς—ὑφηγεῖται] Minus accurate Cornarius: *num igitur etiam recte, inquam ego, a nobis exponitur, o pueri, id quod nunc producimus?* Imo ita intelligo: *an recte—nos ducet in indaganda hac re ea, quam posuimus, sententia?* Ut post §. 35. μὴ ἡμᾶς ἐξαπατήσῃ τὸ νῦν λεγόμενον. Heindorf.

εἰ γοῦν θέλοιμεν] Vulgo interpungunt εἰ γοῦν θέλοιμεν ἐννοῆσαι, τὸ ὑγιαῖνον σῶμα οὐδὲν ἰατρικῆς δεῖται etc. in quibus ἐννοῆσαι hoc, simpliciter adhibitum sine accusativo, duriusculum est. Post σῶμα distinxi ex usu Platonis. Phædo p. 68. D. Εἰ γὰρ ἐθελήσεις—ἐννοῆσαι τήν γε τῶν ἄλλων ἀνδρείαν τε καὶ σωφροσύνην, δόξει σοι εἶναι ἄτοπος. Protag. p. 324. A. Εἰ γὰρ ἐθέλεις ἐννοῆσαι τὸ κολάζειν, ὦ Σώκρ. τοὺς ἀδικοῦντας, τί ποτε δύναται. αὐτό σε διδάξει etc. Sympos. p. 200. C. Τούτους γάρ, ὦ Ἀγάθων, εἰ ἐννοεῖς, ἔχειν μὲν ἕκαστον τούτων ἐν τῷ παρόντι ἀνάγκη ἃ ἔχουσι. Heind.

ἀσπάζεσθαι καὶ φιλεῖν. Δοκεῖ μοι. Τὸ μήτε κακὸν ἄρα μήτε ἀγαθὸν φίλον γίγνεται τοῦ ἀγαθοῦ διὰ κακοῦ παρουσίαν. Ἔοικεν. Δῆλον δέ γε ὅτι[t] πρὶν γενέσθαι αὐτὸ κακὸν
1. i. 135. ὑπὸ τοῦ κακοῦ οὗ ἔχει. οὐ γὰρ δή γε κακὸν γεγονὸς ἔτι[u] ἂν τοῦ ἀγαθοῦ[v] ἐπιθυμοῖ[w] καὶ φίλον εἴη· ἀδύνατον γὰρ ἔφαμεν κακὸν ἀγαθῷ φίλον εἶναι. Ἀδύνατον γάρ. Σκέψασθε δὴ ὃ[x] λέγω. λέγω γὰρ ὅτι ἔνια μέν, οἷον ἂν ᾖ τὸ παρόν, τοιαῦτά[y] ἐστι καὶ αὐτά, ἔνια δὲ[z] οὔ. ὥς περ εἰ ἐθέλοι[a] τις χρώματί τῳ ὁτιοῦν[b] ἀλεῖψαι, πάρεστί που[c] τῷ ἀλειφθέντι τὸ ἐπαλειφθέν.[d] Πάνυ γε.[e] [§. 32.] Ἆρ' οὖν καὶ[f] ἔστι τότε[g] τοιοῦτον τὴν χρόαν τὸ ἀλειφθέν,[h] οἷον[i] τὸ ἐπόν;[j] Οὐ

nius : libri ἐστιν.—[v] post ἀγαθοῦ omisi οὗ cum Συε.—[w] ἐπιθυμεῖ Εεfγς.—[x] ὃ ἐγὼ f.—[y] ταῦτά f.—[z] δ' γ.—[a] ἐθέλει Σf.—[b] ὁτιοῦν τι ΓΘγ.—[c] τῳ γ.—[d] ἀλειφθέν γ.—[e] πάνυ γε om ΓΞΣBCEuyεf.—[f] καὶ om Γ.—[g] τοῦτο γ.—[h] ἀλειφθέν Heindorfius : libri ἐπαλειφθὲν.—[i] οἷον om f.—[j] ἐπόν Heindorfius, αἴτιον Ξu : ἔτι ὄν *s.—[k] οὐ δὲ

ἀναγκάζεται δέ γε σῶμα—ἀσπάζεσθαι καὶ φιλεῖν] Neminem frequentius ista duo sic junctim posuisse, ἀσπάζεσθαι καὶ φιλεῖν, quam Platonem, monuit Valcken. ad Orat. Chrysost. p. xxxviii. Oratt. Hemsterh. et Valk. præmissam. Heind.

ἐπιθυμεῖ] For. ἐπιθυμοῖ, ut conveniat cum εἴη. Steph.

οὐ γὰρ δή γε κακὸν γεγονὸς] Hæc vulgo sic leguntur : οὐ γὰρ δή γε κακὸν γεγονός ἐστιν ἀντὶ τοῦ ἀγαθοῦ, οὗ ἐπιθυμεῖ, καὶ φίλον εἴη. In quibus unus Stephanus offendit, pro ἐπιθυμεῖ conjiciens ἐπιθυμοῖ, ut conveniret cum εἴη. Sed, quæ erat eximii viri in Platone edendo festinatio, hæc verba pluribus mendis inquinata esse non vidit. Quæ quum vertit Cornarius ita : *non enim malum factum est pro bono, quod cupit et cui amicum est*, sententiam vel absonam vel prorsus nullam expressit. Scilicet corpus, quod neque bonum neque malum est, amicum fieri dixerat bono cuidam (medicinæ) ob mali præsentiam. Addit, id fieri necesse esse, antequam corpus malum fiat ipsum malo eo, quo sit affectum. Jam talem inferri causam necesse est : *neque enim, quando malum factum fuerit, bonum appetat aliquod eique fiat amicum.* Fieri enim non potest, ut malum quodpiam amicum fiat bono cuiquam. Ad hanc igitur rationem vere mihi videor scripturam concinnasse, quam cuivis facile obviam non multum abfuit quin, ut postmodum vidi, Salvinius etiam excogitaret in Obss. Misc. v. ii. T. ii. p. 276. legendum proponens οὐ γὰρ δή γε κακὸν γεγονὸς ἔτι ἄν τι τοῦ ἀγαθοῦ, οὗ ἐπιθυμεῖ, καὶ φίλον εἴη vel τοῦ ἀγαθοῦ ἐπιθυμοῖ, vel ἐστὶν ἀντί. Firmant autem hanc emendationem illa, quæ post inferuntur §. 32. ubi hanc ipsam sententiam repetit Plato : Οὐκοῦν ὅταν μήπω κακὸν ᾖ κακοῦ παόντος, αὕτη μὲν ἡ παρουσία ἀγαθοῦ αὐτὸ ποιεῖ ἐπιθυμεῖν· ἡ δὲ κακὸν ποιοῦσα ἀποστερεῖ αὐτὸ τῆς τε ἐπιθυμίας ἅμα καὶ τῆς φιλίας τἀγαθοῦ. Heind.

§. 32. ἔτι ὄν] In præced. edit. perperam αἴτιον pro ἔτι ὄν. Steph.

Ficin. vertit, *quale ipsum esse solet.* Ald. Bas. 1. αἴτιον pro ἔτι ὄν quod Bas. 2. exhibet. Ed. Bip.

ἔτι ὄν] In locum devenimus corruptelæ manifestum. Nullus est sensus in verbis οἷον τὸ ἔτι ὄν, neque medelam affert scriptura Ald. et Bas. 1. τὸ αἴτιον. Enimvero Plato ipse eandem hanc sententiam mox ita explicans : τοῦτο τοίνυν ἐρωτῶ νῦν δή, εἰ ᾧ ἄν τι παρῇ, τοιοῦτον ἔσται τὸ ἔχον οἷον τὸ παρόν, talem fere, opinor, suppeditat corrigendi rationem : Ἆρ' οὖν καὶ ἐστὶ τότε τοιοῦτον τὴν χρόαν τὸ ἀλειφθὲν, οἷον τὸ ἐπαλειφθέν ; Etenim in sequentibus verbis τὸ ἀλειφθὲν sunt ad ξανθαὶ τρίχες, τὸ ἐπαλειφθὲν est τὸ ψιμύθιον. Atque ἀλειφθὲν quin pro ἐπαλειφθὲν scribendum sit, dubium esse non potest ; pro τὸ ἔτι ὄν si quis malit substituere τὸ ἐπὸν s. ἐπιὸν, non refragor. Heind.

μανθάνω, ἦ δ' ὅς. Ἀλλ' ὧδε,[k] ἦν δ' ἐγώ. εἴ τίς σου ξανθὰς οὔσας τὰς τρίχας ψιμυθίῳ[l] ἀλείψειε, πότερον τότε[m] λευκαὶ εἶεν ἢ φαίνοιντ'[n] ἄν; Φαίνοιντ' ἄν, ἦ δ' ὅς. Καὶ μὴν παρείη γ'[o] ἂν αὐταῖς λευκότης. Ναί. Ἀλλ' ὅμως οὐδέν τι μᾶλλον ἂν εἶεν λευκαί πω, ἀλλὰ παρούσης λευκότητος οὔ τέ τι λευκαὶ οὔτε μέλαιναί[p] εἰσιν.[q] Ἀληθῆ. Ἀλλ' ὅταν δή, ὦ φίλε, τὸ γῆρας αὐταῖς ταὐτὸν τοῦτο χρῶμα[r] ἐπαγάγῃ, τότε ἐγένοντο οἷόν περ τὸ παρόν, λευκοῦ παρουσίᾳ λευκαί. Πῶς γὰρ οὔ; Τοῦτο τοίνυν ἐρωτῶ[s] δή,[t] εἰ ᾧ ἄν τι παρῇ, τοιοῦτον ἔσται τὸ ἔχον οἷον τὸ παρόν· ἢ ἐὰν μὲν κατά τινα τρόπον παρῇ, ἔσται, ἐὰν δὲ μή, οὔ. Οὕτω μᾶλλον, ἔφη. Καὶ τὸ μήτε κακὸν ἄρα μήτε ἀγαθὸν ἐνίοτε κακοῦ παρόντος οὔ πω κακόν ἐστιν, ἔστι δ' ὅτε i. i. 136.
ἤδη τὸ τοιοῦτον γέγονεν. Πάνυ γε. Οὐκοῦν ὅταν μή πω κακὸν ᾖ κακοῦ παρόντος, αὕτη μὲν[u] ἡ παρουσία ἀγαθοῦ αὐτὸ ποιεῖ ἐπιθυμεῖν· ἡ δὲ κακὸν ποιοῦσα ἀποστερεῖ αὐτὸ τῆς τε ἐπιθυμίας ἅμα καὶ τῆς φιλίας τἀγαθοῦ.[v] [§. 33.] Οὐ γὰρ ἔτι ἐστὶν[w] οὔτε κακὸν II. 218.
οὔτε ἀγαθόν, ἀλλὰ κακόν·[x] φίλον δὲ ἀγαθῷ κακὸν[y] οὐκ ἦν. Οὐ γὰρ οὖν. Διὰ ταῦτα δὴ φαῖμεν ἂν καὶ τοὺς ἤδη σοφοὺς μηκέτι φιλοσοφεῖν, εἴτε θεοὶ εἴτε ἄνθρωποί εἰσιν οὗτοι· οὐδ' αὖ ἐκείνους φιλοσοφεῖν τοὺς οὕτως ἀγνοιαν[z] ἔχον-

Σ.—[l] ψιμυθίῳ ΑΘΒΕu, ψιμμιθίω ΣCyf, ψιμιθίω Ξr, ψιμιθείω e: ψιμμυθίῳ s.—[m] τότε Heindorfius: libri ποτε.—[n] alterum φαίνοιντ' ἂν om Γ.—[o] τ' Bu.—[p] οὔτε τι μέλαιναι fr.—[q] ἔπεισιν Σe.—[r] ταυτὸν τοῦτο χρῶμα ΑΘ, τὸ χρῶμα τοῦτο ταυτὸν Γ: ταὐτὸν τοῦτο τὸ χρῶμα *s.—[s] ἐρωτῶν r.—[t] νῦν δὴ ΓΘΞfr.—[u] μὲν οὖν Θ.—[v] τοῦ ἀγαθοῦ Α.—[w] ἔστιν ἔτι Ξe.—[x] ἀλλὰ κακόν om Σe.—[y] ἀγαθῷ κακὸν Heindorfius: libri ἀγαθὸν κακῷ.—[z] ἀγνοίας Valckenar. ad Eur. Phœniss. 364.—[a] δὲ y.

ψιμ.] ψιμύθιον an ψιμμύθιον scribendum sit, nondum mihi quidem exploratum est. Vid. Hemsterh. ad Aristoph. Plut. p. 394. Conf. Taylor. ad Lysiam p. 15. ed. Reisk. Post πότερον correxi τότε pro ποτέ. Paullo post pro τότε ἐγένοντο malim τότε γένοιντο. Heindorf.

§. 33. φίλον δὲ ἀγαθὸν κακῷ οὐκ ἦν] Hoc docuerat, Corpus, quod neque bonum neque malum sit, amicum fieri bono (φίλον γίγνεσθαι τοῦ ἀγαθοῦ) ob mali præsentiam. Fieri autem bono amicum illud, quamdiu ipsum non sit corruptum aut malum. Nam ejusmodi si factum esset, non posse amicum esse bono. Jam suadet, opinor, sententiarum tenor pro iis φίλον δὲ ἀγαθὸν κακῷ οὐκ ἦν sic rescribi: φίλον δὲ ἀγαθῷ κακὸν οὐκ ἦν, ut supra §. 31. Ἀδύνατον γὰρ ἔφαμεν κακὸν ἀγαθῷ φίλον εἶναι. Heind.

διὰ ταῦτα δὴ φαῖμεν ἄν] Phædr. §. 145. Τὸ μὲν σοφὸν, ὦ Φαῖδρε, καλεῖν ἔμοιγε μέγα εἶναι δοκεῖ καὶ θεῷ μόνῳ πρέπειν· τὸ δὲ ἢ φιλόσοφον ἤ τι τοιοῦτον μᾶλλόν γε ἂν αὐτῷ καὶ ἁρμόττοι καὶ ἐμμελεστέρως ἔχοι. In verbis autem τοὺς οὕτως ἀγνοίας ἔχοντας vulgatum ἄγνοιαν fidenter emendavi. Vid. Hemsterh. ad Lucian. Nigrin. §. 1. Heind.

τας ὥστε κακοὺς εἶναι. κακὸν γὰρ καὶ ἀμαθῆ οὐδένα φιλοσοφεῖν. λείπονται δὴ[a] οἱ ἔχοντες μὲν[b] τὸ κακὸν τοῦτο, τὴν ἄγνοιαν, μήπω δὲ ὑπ' αὐτοῦ ὄντες ἀγνώμονες μηδὲ ἀμαθεῖς, ἀλλ' ἔτι ἡγούμενοι μὴ εἰδέναι ἃ μὴ ἴσασι. διὸ δὴ[c] φιλοσοφοῦσιν οἱ[d] οὔτε ἀγαθοὶ οὔτε κακοί πω ὄντες. ὅσοι δὲ κακοί, οὐ φιλοσοφοῦσιν,[e] οὐδὲ οἱ[f] ἀγαθοί· οὔτε γὰρ τὸ ἐναντίον τοῦ ἐναντίου οὔτε τὸ ὅμοιον τοῦ ὁμοίου φίλον ἡμῖν ἐφάνη ἐν τοῖς ἔμπροσθεν λόγοις. ἢ οὐ μέμνησθε; Πάνυ[g] γε, ἐφάτην. Νῦν ἄρα,[h] ἦν δ' ἐγώ, ὦ[i] Λύσι τε καὶ Μενέξενε, παντὸς μᾶλλον ἐξευρήκαμεν ὅ ἔστι τὸ φίλον καὶ οὔ. φαμὲν γὰρ
I. i. 137. αὐτό, καὶ κατὰ τὴν ψυχὴν καὶ κατὰ τὸ σῶμα καὶ πανταχοῦ, τὸ μήτε κακὸν μήτε ἀγαθὸν[j] διὰ κακοῦ παρουσίαν τοῦ ἀγαθοῦ φίλον εἶναι. [§. 34.] Παντάπασιν ἐφάτην[k] τε καὶ συνεχωρείτην οὕτω τοῦτ'[l] ἔχειν.

Καὶ δὴ καὶ[m] αὐτὸς ἐγὼ πάνυ ἔχαιρον, ὥς περ θηρευτής τις, ἔχων ἀγαπητῶς ὃ ἐθηρεύομην. κἄπειτ' οὐκ οἶδ' ὁπόθεν μοι ἀτοπωτάτη τις ὑποψία εἰσῆλθεν, ὡς οὐκ ἀληθῆ εἴη τὰ ὡμολογημένα ἡμῖν. καὶ εὐθὺς ἀχθεσθεὶς εἶπον Βαβαί, ὦ Λύσι τε καὶ Μενέξενε, κινδυνεύομεν ὄναρ πεπλουτηκέναι. Τί μάλιστ';[n] ἔφη ὁ Μενέξενος. Φοβοῦμαι, ἦν δ' ἐγώ, μὴ ὥς περ ἀνθρώποις ἀλαζόσι λόγοις τισὶ τοιούτοις ψευδέσιν[o] ἐντετυχήκαμεν περὶ τοῦ φίλου. Πῶς δή; ἔφη. Ὧδε,

—[b] μὲν om f.—[c] post δὴ omisi καὶ cum Θ.—[d] οἱ om Σε et pr Ξ.—[e] φιλοῦσιν r.—[f] οἱ om Ξ.—[g] νῦν πάνυ ΓΕfr.—[h] νῦν ἄρα ΛΘ: ἆρα *s.—[i] ὦ om Γ.—[j] μήτε ἀγαθὸν μήτε κακὸν Σr.—[k] παντάπασιν οὖν ἐφάτην f.—[l] τ' Γ.—[m] καὶ om pr Ξ.—[n] μάλιστ'

φαμὲν γὰρ αὐτὸ καὶ κατὰ τὴν ψυχὴν] Pronomen αὐτὸ quum vix commode h. l. accipi possit pro μόνον, habet oratio scabri aliquid et inconcinni, certe αὐτὸ moleste videtur redundare. Conjeci φαμὲν γὰρ αὐτὸ τὸ κατὰ τὴν ψυχὴν καὶ κατὰ τὸ σῶμα καὶ πανταχοῦ μήτε κακὸν μήτε ἀγαθόν. Heind. qui vero sic in Addend. 'Sed tamen quum perturbatior interdum sit apud Atticos scriptores verborum ordo, sanus videtur nunc locus, verbis ita ordinatis: φαμὲν γὰρ αὐτὸ τὸ μήτε κακ. μήτε ἀγ. καὶ κατὰ τὴν ψυχὴν καὶ κατὰ τὸ σῶμα καὶ παντ. διὰ κακοῦ παρ. etc.'

§. 34. καὶ δὴ καὶ αὐτὸς—ἐθηρευόμην] *Atque et ipse ego admodum lætabar, velut venator ægre tenens, in quo venando eram occupatus.* Hæc est loci hujus sententia, male accepti ab interpretibus, illud ἀγαπητῶς parum intelligentibus. Sonat enim h. l. *vix, ægre.* vid. Bergler. ad Alciphron. p. 54. Heind.

ὄναρ πεπλουτ.] Theæt. p. 208. B. Ὄναρ δὴ, ὡς ἔοικεν, ἐπλουτήσαμεν, οἰηθέντες ἔχειν τὸν ἀληθέστατον ἐπιστήμης λόγον. Inde ὀνειροπολεῖν τὸν πλοῦτον Lucian. Somn. §. 32. ubi vid. Reitz. Heind.

φοβοῦμαι,—μὴ—ἐντετυχήκαμεν] De vocula μὴ cum indicativo de re perfecta usurpata μὴ λέληθε, μὴ τέθνηκε vid. Burgess. ad Dawes. Misc. Crit. ed. Harl. p. xxiv. Sed subolet in his verbis de

ἦν δ' ἐγώ, σκοπῶμεν. φίλος ὅς[p] ἂν εἴη, πότερόν[q] ἐστί τῳ φίλος ἢ οὔ; Ἀνάγκη, ἔφη. Πότερον οὖν οὐδενὸς ἕνεκα καὶ δι' οὐδέν, ἢ[r] ἕνεκά[s] του καὶ διά τι; Ἕνεκά του καὶ διά τι. Πότερον φίλου[t] ὄντος ἐκείνου τοῦ πράγματος, οὗ ἕνεκα φίλος ὁ φίλος τῷ φίλῳ, ἢ οὔτε φίλου οὔτε ἐχθροῦ; Οὐ πάνυ, ἔφη, ἔπομαι. Εἰκότως γε, ἦν δ' ἐγώ· ἀλλὰ ὧδε ἴσως ἀκολουθήσεις, οἶμαι δὲ καὶ[u] ἐγὼ μᾶλλον εἴσομαι ὅ τι λέγω. ὁ κάμνων, νῦν δὴ ἔφαμεν,[v] τοῦ ἰατροῦ φίλος. οὐχ οὕτως;[w] Ναί. Οὐκοῦν διὰ νόσον ἕνεκα ὑγιείας τοῦ ι. i. 138.
ἰατροῦ φίλος; Ναί. Ἡ δέ γε νόσος κακόν. Πῶς δ' οὔ; Τί δαὶ[x] ὑγίεια; ἦν δ' ἐγώ· ἀγαθὸν ἢ κακὸν ἢ οὐδέτερα; Ἀγαθόν, ἔφη. [§. 35.] Ἐλέγομεν δ' ἄρ',[y] ὡς ἔοικεν, ιι. 219.
ὅτι τὸ σῶμα, οὔτε ἀγαθὸν οὔτε κακόν, διὰ τὴν νόσον, τοῦτο δὲ διὰ τὸ κακόν, τῆς ἰατρικῆς φίλον ἐστίν·[z] ἀγαθὸν δὲ ἰατρική. ἕνεκα δὲ τῆς ὑγιείας τὴν φιλίαν ἡ ἰατρικὴ ἐπανήρηται·[a] ἡ δὲ ὑγίεια ἀγαθόν. ἦ γάρ; Ναί. Φίλον δὲ ἢ οὐ φίλον ἡ ὑγίεια; Φίλον. Ἡ δὲ νόσος ἐχθρόν. Πάνυ γε. Τὸ οὔτε κακὸν οὔτε ἀγαθὸν ἄρα διὰ τὸ κακὸν καὶ τὸ ἐχθρὸν τοῦ ἀγαθοῦ φίλον ἐστὶν ἕνεκα[b] τοῦ ἀγαθοῦ καὶ φίλου. Φαίνεται. Ἕνεκ' ἄρα τοῦ φίλου τὸ φίλον φίλον διὰ τὸ ἐχθρόν. Ἔοικεν. Εἶεν,[c] ἦν δ' ἐγώ. ἐπειδὴ ἐνταῦθα ἥκομεν, ὦ παῖδες, πρόσσχωμεν[d] τὸν νοῦν μὴ ἐξαπατηθῶμεν, ὅτι μὲν[e] γὰρ φίλον τοῦ φίλου[f] τὸ φίλον γέγονεν, ἐῶ χαίρειν, καὶ

Γ.—[o] *ψεύδεσιν* Θ.—[p] *πῶς* ϱ.—[q] *πότερός* ΑΓΕ.—[r] *οὖ* Θ.—[s] *Ἕνεκα...τί* om ϒ.—[t] *πότερον οὖν φίλου* *y*.—[u] *καὶ* om f.—[v] *ἔφαμεν* Heindorfius: libri *φαμεν*.—[w] *οὕτως* ΑΓΞC: *οὕτω* *σ.—[x] *δαὶ* Θ et corr Α: *δὲ* *σ.—[y] *ἄρ'* Γ.—[z] *εἶναι* f.—[a] *ἀνήρηται* Α.—[b] *ἕνεκ'* Γ.—[c] *οὖν* f.—[d] *πρόσσχωμεν* *u*: *πρόσχωμεν* *σ.—[e] *μὲν* om f.—[f] *γὰρ τὸ*

glossemate. Istud *ψευδέσι* post *τοιούτοις*, quum præcesserit *ἀλαζόσι*, ferri non potest, quo omisso nihil ad plenam sententiam requires: *μὴ ὥσπερ ἀνθρώποις ἀλαζόσι λόγοις τισὶ τοιούτοις ἐντετυχήκαμεν*. Nam *ἀλαζόνες λόγοι* sunt *ψευδεῖς*. vid. Tim. Lex. p. 21. ibique Ruhnk. Heind.

νῦν δὴ φαμὲν] Malim *ἔφαμεν*, quoniam hæc referuntur ad illa superiora §. 31. *ἀναγκάζεται δέ γε σῶμα διὰ νόσον ἰατρικὴν ἀσπάζεσθαι καὶ φιλεῖν*. Heind.

§. 35. *ἐλέγομεν δ' ἄρα, ὡς ἔοικε*] Correxi h. l. ex verissima Cornarii emendatione. Vulgo sine sensu: *ἐλέγομεν δ' ἄρα, ὡς ἔοικεν, ὅτι τὸ σῶμα, οὔτε ἀγαθὸν, οὔτε κακὸν, διὰ τὴν νόσον. τοῦτο δὲ, διὰ τὸ κακὸν, τῆς ἰατρικῆς φίλον ἐστί*. Atque post *οὔτε ἀγαθὸν οὔτε κακὸν* non male inseras *ὄν*, et mox in illis *ἀγαθὸν δὲ ἰατρικὴ* videtur ante *ἰατρικὴ* deesse art. *ἡ*. Heind.

ἐπειδὴ ἐνταῦθα ἥκομεν] Malim *ἐπειδὴ δὲ ἐντ.* de rep. i. p. 336. A. *Εἶεν, ἦν δ' ἐγώ. Ἐπειδὴ δὲ οὐδὲ τοῦτο ἐφάνη ἡ δικαιοσύνη ὄν*. Heind.

ὅτι μὲν γὰρ φίλον] In his verba illa *ἐῶ χαίρειν* negligentius sunt collocata: ne quis cum viro docto conjiciat *καίτοι*

τοῦ ὁμοίου γε τὸ ὅμοιον φίλον γίγνεται, ὃ ἔφαμεν[g] ἀδύνατον εἶναι· ἀλλ' ὅμως τόδε σκεψώμεθα, μὴ ἡμᾶς ἐξαπατήσῃ[h] τὸ νῦν λεγόμενον. ἡ ἰατρική, φαμέν, ἕνεκα τῆς ὑγιείας φίλον. Ναί. Οὐκοῦν καὶ[i] ἡ[j] ὑγίεια φίλον. Πάνυ γε. [§. 36.] Εἰ ἄρα φίλον,[k] ἕνεκά του. Ναί.
1. i. 139. Φίλου γέ τινος δή,[l] εἴ περ ἀκολουθήσει τῇ πρόσθεν ὁμολογίᾳ. Πάνυ γε. Οὐκοῦν καὶ ἐκεῖνο φίλον αὖ[m] ἔσται ἕνεκα φίλου; Ναί. Ἆρ' οὖν οὐκ ἀνάγκη ἀπειπεῖν ἡμᾶς οὕτως ἰόντας, καὶ ἀφικέσθαι ἐπί τινα ἀρχήν, ἣ[n] οὐκέτ' ἐπανοίσει[o] ἐπ'[p] ἄλλο[q] φίλον,[r] ἀλλ' ἥξει ἐπ' ἐκεῖνο ὃ ἔστι πρῶτον φίλον, οὗ ἕνεκα καὶ τἆλλά[s] φαμεν πάντα φίλα εἶναι; Ἀνάγκη. Τοῦτο δή ἐστιν ὃ λέγω, μὴ ἡμᾶς τἆλλα[t] πάντα ἃ εἴπομεν ἐκείνου ἕνεκα φίλα εἶναι, ὡς περ εἴδωλ' ἄττα ὄντα αὐτοῦ, ἐξαπατᾷ, ἢ δ' ἐκεῖνο τὸ πρῶτον, ὃ[u] ὡς[v] ἀληθῶς ἐστι[w] φίλον. ἐννοήσωμεν γὰρ οὑτωσί.[x] ἐάν[y] τίς τι περὶ πολλοῦ ποιῆτ ,[z] οἷόν περ ἐνίοτε πατὴρ υἱὸν ἀντὶ πάντων τῶν ἄλλων χρημάτων προτιμᾷ,—ὁ δὴ τοιοῦτος ἕνεκα τοῦ τὸν υἱὸν περὶ παντὸς ἡγεῖσθαι ἆρα καὶ ἄλλο τι ἂν περὶ πολλοῦ ποιοῖτο;[a] οἷον[b] εἰ αἰσθάνοιτο αὐτὸν κώνειον[c]

φίλον ϱ.—[g] φαμὲν Θfϒ.—[h] ἐξαπατήσει f.—[i] καὶ om Σϱ et pr Ξ.—[j] ἡ om ϒ et pr Ξ cum ϛ.—[k] φίλον ϱfϒϛ.—[l] δὴ Ξϒϛ: ceteri δεῖ.—[m] αὖ om ϒ.—[n] ἢ Α.—[o] ἀπανοίσει f.—[p] πρὸς ϒ.—[q] ἄλλο fϛ: ceteri ἄλλον.—[r] φίλον ante ἐπ' ponit f, om ϒ.—[s] τἄλλα ΓΣf: τὰ ἄλλα *ϛ.—[t] μάλιστα ἀλλα ΑΘϒ.—[u] ὃ om f.—[v] ὡς om Θ.—[w] ἐστὶ om f.—[x] γὰρ οὐ οὑτωσί u.—[y] εἰ ὅ ἄν ϒ: ὃ ἂν *ϛ.—[z] ποιεῖσθαι y.—[a] ποιοῖτο...πυλλοῦ

τοῦ ὁμοίου—, quo reposito reponendum etiam esset γίγνοιτ' ἄν. Heind.

§. 36. φίλον γέ τινος δή] Cornar. *Amici cujusdam utique.* Legit itaque φίλου, vere, opinor. Heind.

εἴπερ ἀκολουθήσει] Intellige τοῦτο. Theæt. p. 196. B. Οὐκοῦν εἰς τοὺς πρώτους πάλιν ἀνήκει λόγους. ubi subaudiendum τοῦτο, s. τὸ πρᾶγμα. Heind.

ἆρ' οὖν οὐκ ἀνάγκη ἀπειπεῖν] Male Cornarius, *numquid igitur necesse est, nos huic progressioni renuntiare, et ad principium quoddam pervenire, quod non amplius ad aliud amicum transeat* etc.? Hoc dicit Plato: *nonne igitur necesse est, ut fatigemur sic progrediendo, veniamusque ad principium aliquod, quod jam non referatur ad amicum aliud* etc.? Ἐπανοίσει autem οὐδετέρως h. l. adhibitum est per intellectum τοῦ ἑαυτὸ, ut sæpius, neque audiendus Cornarius, corrigens ἐπανήσει. Qui, miror, quod non in illo potius ἥξει hæsit. Nam quum ἀρχὴ hæc ipsa sit haud dubie *illud πρῶτον φίλον, cujus causa cetera omnia φίλα sunt*, ita potius scriptum exspectabam: ἀλλ' ἔσται ἐν ἐκείνῳ, s. τελευτήσει εἰς ἐκεῖνο. (Conf. §. 37.) Si sana hæc sunt, verbum ἥκειν, quod prægresso potius ἡμᾶς accommodari debebat, negligentius paullo ad proxime præcedens ἀρχὴν scriptor videtur retulisse. Sed in verbis ὃ ἐστι πρῶτον φίλον inserendum utique articulum τὸ post ἐστὶ puto. Mox in illis ἢ δ' ἐκεῖνο, ad τὸ πρῶτον subaudiendum τοῦτο, ut brevius idem sic efferri potuerit: ἢ δ' ἐκεῖνο τὸ πρῶτον τὸ ὡς ἀληθῶς φίλον. Deinde vulgo scriptum ὃ ἄν τίς τι περὶ —, in quibus τι abjeci cum Cornario vertente *quidquid quis plurimi facit.* Heind.

πεπωκότα, ἆρα περὶ πολλοῦ ποιοῖτ' ἂν οἶνον,[d] εἰ περ τοῦτο ἡγοῖτο[e] τὸν υἱὸν σώσειν; Τί μήν; ἔφη. Οὐκοῦν καὶ τὸ ἀγγεῖον, ἐν ᾧ ὁ οἶνος ἐνείη;[f] Πάνυ γε. [§. 37.] Ἆρ' οὖν τότε οὐδὲν περὶ πλείονος ποιεῖται κύλικα κεραμέαν[g] ἢ τὸν υἱὸν τὸν αὑτοῦ, οὐδὲ[h] τρεῖς κοτύλας οἴνου ἢ τὸν υἱόν;[i] ἢ ὧδέ πως ἔχει· πᾶσα ἡ τοιαύτη σπουδὴ οὐκ ἐπὶ τούτοις[j] ἐστὶν ἐσπουδασμένη, ἐπὶ τοῖς ἕνεκά του παρασκευαζομένοις, I. i. 140.
ἀλλ' ἐπ' ἐκείνῳ[k] οὗ ἕνεκα πάντα τὰ τοιαῦτα παρασκευά- II. 220.
ζεται. οὐχ ὅτι πολλάκις λέγομεν, ὡς περὶ[l] πολλοῦ ποιούμεθα χρυσίον καὶ ἀργύριον· ἀλλὰ μὴ οὐδέν τι μᾶλλον οὕτω τό γε ἀληθὲς ἔχῃ.[m] ἀλλ' ἐκεῖνό ἐστιν ὃ περὶ παντὸς ποιούμεθα,[n] ὃ ἂν φανῇ ὄν, ὅτου ἕνεκα καὶ χρυσίον καὶ πάντα τὰ παρασκευαζόμενα[o] παρασκευάζεται. ἆρ' οὕτω φήσομεν; Πάνυ γε. Οὐκοῦν καὶ περὶ τοῦ φίλου ὁ αὐτὸς λόγος. ὅσα γάρ φαμεν φίλα[p] εἶναι ἡμῖν ἕνεκα φίλου τινός,

om f.—[b] ποιοῖτ' ἂν οἶνον e.—[c] κιόνιον Θ.—[d] υἱον f.—[e] ἡγεῖται f.—[f] εἴη Γ, ἐνήει Σ.—[g] κεραμέαν ΞΣBCuefr, κεραμέα ΑΓΘ; E κεραμέα habeat an κεραμία, non liquet: κεραμίαν γς.—[h] οὐδὲ...υἱόν om f.—[i] ἢ τὸν υἱόν om E.—[j] τοιούτοις f.—[k] ἐκεῖνο Σ.—[l] ὡς περὶ] ὥσπερ r.—[m] ἔχει Ξfr.—[n] ἐποιούμεθα f.—[o] παρασκευαζό-

§. 37. ἆρ' οὖν τότε οὐδὲν περὶ πλείονος] Vulgo hæc ita interpunguntur: Ἆρ' οὖν τότε οὐδὲν περὶ πλείονος ποιεῖται κύλικα κεραμίαν, ἢ τὸν υἱὸν τὸν αὑτοῦ, οὐδὲ τρεῖς κοτύλας οἴνου, ἢ τὸν υἱόν, hoc sensu: *Igiturne tum nihilo pluris faciet calicem fictilem, quam filium suum, neque tres vini heminas, quam filium.* Qua sententia nihil esse potest absurdius. Melior aliquanto est illa, quam Ficinus expressit, *num pluris æstimat tunc calicem fictilem, aut tres vini cyathos, quam filium? an contra potius se res habet* etc.? Quanquam ita locum interpretari vetat illud οὐδὲν et post οὐδὲ, ac ne in hoc quidem sensu quisquam acquiescat. Patrem, dixerat Socrates, quando filium plurimi æstimet, magni æstimaturum etiam vinum, quo possit filium salvum reddere, calicemque ipsum. Jam nemo mehercule exspectabit, dum quæratur ab eo, num calicem vinumve tunc pluris sit æstimaturus pater, quam filium ipsum. Non dubitavi igitur, post ποιεῖται distinguere cum Buttmanno meo, Græcis non inusitatum loquendi genus esse monente, ut οὐδὲν περὶ πλείονος ποιεῖν, βίον ἢ θάνατον, dicatur, qui vitam mortemque in nullo ponat discrimine. In quo neque οὐδὲν pro οὐδέτερον adhibitum offendere debet, et hac una ratione efficitur ea, qua hic opus est, sententia: *Igiturne tum eodem in pretio habebit calicem fictilem, quo suum filium, eodemque tres vini heminas, quo filium, an sic se res habet, ut, filii ratione non habita, nihili omnino illa æstimaturus esset?* Heind.

οὐχ ὅτι πολλάκις λέγομεν] Οὐχ ὅτι est simpliciter *quanquam*, eodemque modo, quo illa Latinorum particula, propositionibus solet annecti. v. c. Theæt. p. 157. B. ὥστε ἐξ ἁπάντων τούτων, ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν, οὐδὲν εἶναι ἓν αὐτὸ καθ' αὑτό, ἀλλὰ τινὶ αἰεὶ γίγνεσθαι. Τὸ δὲ εἶναι πανταχόθεν ἐξαιρετέον· οὐχ ὅτι ἡμεῖς πολλὰ καὶ ἄρτι ἠναγκάσμεθα ὑπὸ συνηθείας καὶ ἀνεπιστημοσύνης χρῆσθαι αὐτῷ. Τὸ δ' οὐ δεῖ etc. Gorg. p. 450. E. Ἀλλ' οὔτι τούτων γε οὐδεμίαν οἶμαί σε βούλεσθαι ῥητορικὴν καλεῖν· οὐχ ὅτι τῷ ῥήματι οὕτως εἶπες—ἀλλ' οὐκ οἶμαί σε οὔτε τὴν ἀριθμητικὴν, οὔτε τὴν γεωμετρίαν ῥητορικὴν λέγειν. Protag. p. 336. D. Ἐπεὶ Σωκράτει γε ἐγὼ ἐγγυῶμαι μὴ ἐπιλήσεσθαι, οὐχ ὅτι παίζει καί φησιν ἐπιλήσμων εἶναι. Heind.

ὅσα γὰρ φαμὲν φίλα εἶναι] Verba hæc ἕνεκα φίλου τινὸς mutata distinctione ad

ἑτέρῳ[q] ῥήματι φαινόμεθα λέγοντες[r] αὐτό·[s] φίλον δὲ τῷ ὄντι κινδυνεύει ἐκεῖνο αὐτὸ[t] εἶναι, εἰς ὃ πᾶσαι αὖται αἱ λεγόμεναι φιλίαι τελευτῶσιν. Κινδυνεύει οὕτως, ἔφη, ἔχειν.[u] Οὐκοῦν τό γε τῷ ὄντι φίλον οὐ φίλου τινὸς ἕνεκα φίλον ἐστίν. Ἀληθῆ. Τοῦτο μὲν δὴ ἀπήλλακται, μὴ φίλου τινὸς ἕνεκα[v] τὸ φίλον φίλον εἶναι. ἀλλ' ἆρα τὸ ἀγαθόν ἐστι φίλον; Ἔμοιγε δοκεῖ. [§. 38.] Ἆρ' οὖν διὰ τὸ κακὸν τὸ ἀγαθὸν φιλεῖται, καὶ ἔχει ὧδε· εἰ[w] τριῶν ὄντων ὧν νῦν δὴ ἐλέγομεν, ἀγαθοῦ καὶ κακοῦ καὶ μήτε ἀγαθοῦ μήτε κακοῦ, τὰ δύο λειφθείη,[x] τὸ δὲ κακὸν ἐκποδὼν[y] ἀπέλθοι καὶ μηδενὸς ἐφάπτοιτο μήτε σώματος μήτε ψυχῆς μήτε τῶν ἄλλων ἃ δή φαμεν αὐτὰ καθ' αὑτὰ οὔτε κακὰ εἶναι οὔτε ἀγαθά, ἆρα τότε οὐδὲν ἂν ἡμῖν χρήσιμον εἴη τὸ
I. i. 141. ἀγαθόν, ἀλλ' ἄχρηστον ἂν γεγονὸς εἴη; εἰ γὰρ μηδὲν ἡμᾶς ἔτι βλάπτοι,[z] οὐδὲν ἂν οὐδεμιᾶς ὠφελείας[a] δεοίμεθα. καὶ οὕτω δὴ ἂν τότε γένοιτο κατάδηλον ὅτι διὰ τὸ κακὸν τἀγαθὸν ἠγαπῶμεν καὶ ἐφιλοῦμεν, ὡς φάρμακον ὂν τοῦ κακοῦ τὸ ἀγαθόν, τὸ δὲ κακὸν νόσημα· νοσήματος δὲ μὴ ὄντος οὐδὲν δεῖ φαρμάκου. ἆρ' οὕτω πέφυκέ τε καὶ φιλεῖται τἀγαθὸν διὰ τὸ κακὸν ὑφ' ἡμῶν τῶν μεταξὺ ὄντων τοῦ κακοῦ τε[b] καὶ τἀγαθοῦ, αὐτὸ δὲ αὑτοῦ[c] ἕνεκα[d] οὐδεμίαν χρείαν ἔχει; Ἔοικεν, ἦ δ' ὅς, οὕτως ἔχειν. Τὸ ἄρα φίλον ἡμῖν ἐκεῖνο εἰς ὃ ἑτελεύτα πάντα τἆλλ', ἃ[e] ἕνεκα

μενα om pr *u*.—[p] φίλου pr *u*.—[q] ἑταίρῳ ϱ.—[r] λέγοντος ϱ.—[s] αὐτά corr Γ, αὐτῷ ϱ.—[t] αὐταὶ ϒ.—[u] ἔχειν ἔφη Θ.—[v] εἵνεκα f.—[w] εἰ om ϒ.—[x] λειφθείη Heindorfius: *oi* libri ληφθείη.—[y] ἐκποδὼν Ա.—[z] βλάπτη Σ, βλάπτει f.—[a] ὠφελίας Ա*γϱ*.—[b] τε om ϒ.—[c] ἑαυτοῦ Ա.—[d] ἔοικα Θ.—[e] τἆλλα Γ: τὰ ἄλλα *ς.—[f] τούτοις ὡς ἔοικεν f.—

antecedentia traxi. ἑτέρῳ ῥήματι i. e. *alieno nomine, improprio*. Pari modo Phileb. p. 13. A. Ὅτι προσαγορεύεις αὐτὰ ἀνόμοια ὄντα ἑτέρῳ, φήσομεν, ὀνόματι. λέγεις γὰρ ἀγαθὰ πάντα εἶναι τὰ ἡδέα. quem locum olim pessime tentavi. Sed illud αὐτό, post ὅσα illatum, vix sanum puto, neque satisfacit αὐτά. Elegantius utique hoc prorsus abesset, nisi forte legendum: λέγοντες αὖ· τὸ φίλον δὲ τῷ ὄντι. Nam ἐκεῖνο αὐτὸ est *illud unum*. Vid. Valcken. ad Chrysost. Orat. in Hemst. et Valck. Oratt. p. vi. Heind.

τοῦτο μὲν δὴ ἀπήλλακται] Simili structura Phileb. p. 67. A. Οὐκοῦν παντάπασιν ἐν τούτῳ τῷ λόγῳ καὶ νοῦς ἀπήλλακτο καὶ ἡδονή, μήτοι τἀγαθόν γε αὐτὸ μηδ' ἕτερον αὐτοῖν εἶναι στερομένων αὐταρκείας. Heind.

§. 38. εἰ τριῶν ὄντων—τὰ δύο ληφθείη, τὸ δὲ κακὸν ἐκποδὼν ἀπέλθοι] Malim λειφθείη, quod respondeat subsequentibus his ἐκποδὼν ἀπέλθοι. Heind.

τὸ ἄρα φίλον ἡμῖν ἐκεῖνο] Vulgo: Τὸ ἄρα φίλον ἡμῖν ἐκεῖνο εἰς ὃ ἑτελεύτα πάντα τὰ ἄλλα, ἕνεκα ἑτέρου φίλου φίλα ἔφαμεν εἶναι ἐκεῖνα. οὐδὲν δὲ τούτοις

ἑτέρου φίλου φίλα ἔφαμεν εἶναι [ἐκεῖνα], οὐδὲν δὲ τούτοις ἔοικε.[f] [§. 39.] ταῦτα μὲν γὰρ φίλου ἕνεκα φίλα κέκληται,[g] τὸ δὲ τῷ ὄντι φίλον πᾶν τοὐναντίον τούτου φαίνεται πεφυκός. φίλον γὰρ ἡμῖν ἀνεφάνη ὃν ἐχθροῦ ἕνεκα· εἰ δὲ τὸ ἐχθρὸν ἀπέλθοι, οὐκέτι, ὡς ἔοικ', ἔσθ' ἡμῖν φίλον. Οὔ μοι δοκεῖ, ἔφη, ὥς γε νῦν λέγεται. Πότερον, ἦν δ' ἐγώ, πρὸς Διός, ἐὰν τὸ κακὸν ἀπόληται, οὐδὲ πεινῆν ἔτι ἔσται II. 221. οὐδὲ διψῆν οὐδὲ ἄλλο οὐδὲν τῶν τοιούτων; ἢ πείνη[h] μὲν ἔσται, ἐάν περ ἄνθρωποί τε καὶ τἆλλα ζῶα ᾖ, οὐ μέντοι βλαβερά γε; καὶ δίψα[i] δὴ καὶ αἱ[j] ἄλλαι ἐπιθυμίαι, ἀλλ' οὐ κακαί, ἅτε τοῦ κακοῦ ἀπολωλότος; ἢ γελοῖον[k] τὸ ἐρώτημα, ὅ τί ποτ' ἔσται τότε ἢ μὴ ἔσται; τίς γὰρ οἶδεν; I. i. 142. ἀλλ' οὖν τόδε γε[l] ἴσμεν, ὅτι καὶ νῦν ἔστι πεινῶντα βλάπτεσθαι, ἔστι δὲ καὶ ὠφελεῖσθαι. ἦ γάρ; Πάνυ γε. Οὐκοῦν καὶ διψῶντα καὶ τῶν ἄλλων τῶν τοιούτων πάντων ἐπιθυμοῦντα ἔστιν ἐνίοτε μὲν ὠφελίμως ἐπιθυμεῖν, ἐνίοτε δὲ βλαβερῶς, ἐνίοτε δὲ μηδέτερα. Σφόδρα γε. Οὐκοῦν ἐὰν ἀπολλύηται[m] τὰ κακά, ἃ γε[n] μὴ τυγχάνει[o] ὄντα κακά, τί προσήκει τοῖς κακοῖς[p] συναπόλλυσθαι; Οὐδέν. Ἔσονται ἄρα αἱ μήτε ἀγαθαὶ μήτε κακαὶ ἐπιθυμίαι καὶ ἐὰν ἀπόλληται[q] τὰ κακά. Φαίνεται. [§. 40.] Οἷόν τε οὖν[r] ἐστὶν ἐπιθυμοῦντα καὶ ἐρῶντα τούτου[s] οὗ ἐπιθυμεῖ καὶ[t] ἐρᾷ

ε κέκληνται ϒ.—h πεῖνα E.—i δίψαι Γ.—j αἱ om Γ.—k ἦ γε γελοῖον y.—l τόγε Θf, τόδε E.—m ἀπολύηται ϒ.—n τε f.—o τυγχάνει Ξγefϒ et corr Γ: τυγχάνῃ *s.—p καλοῖς ϒ.—q ἀπόλληται ΑΓΞΣBCEuy, ἀπόλλυται f.—r αὖ f.—s τοῦτο corr Γ.—

ἔοικεν. Quæ sensu carent prorsus. Neque dubitavi certam in textum recipere Cornarii mutationem, pro illo δὲ post οὐδὲν, quod ejecerat Corn. reponens δή. Heind.

§. 39. ἐάνπερ] For. ἔστ' ἄν περ. ut dicantur hæc futura esse, *quantisper* homines et cætera animantia fuerint. Steph.

ἐάνπερ] Stephanus conjecit ἔστ' ἄν περ, *quantisper*. Sed probum ἐάνπερ, *si modo*. Ἔστ' ἄν semel adhuc in Platone reperi Symp. p. 211. C. pro quo plerumque adhibet ἕως ἄν s. ἐν ᾧ ἄν. Heind.

τυγχάνῃ] Reposui τυγχάνει ex sermonis lege. Heind.

§. 40. τούτου] Scripserim τοῦτο. Steph. Miror Stephanum τοῦτο reponentem. Meno. p. 96. A. Ἔχεις οὖν εἰπεῖν ἄλλου ὅτουοὖν πράγματος, οὗ οἱ μὲν φάσκοντες διδάσκαλοι εἶναι, οὐχ ὅπως ἄλλων διδάσκαλοι ὁμολογοῦνται etc. et ibid. C. prorsus ad hujus loci modum ὡμολογήκαμεν δέ γε, πράγματος, οὗ μήτε διδάσκαλοι μήτε μαθηταὶ εἶεν, τοῦτο διδακτὸν μὴ εἶναι. Cujus generis primum est exemplum ap. Homer. Iliad. Σ. 192. Geminaque huic, sed vulgatior est illa accusativi pronomini relativo præmissi ratio, ab interpp. passim illustrata. v. c. de legg. v. p. 740. D. πάντων τούτων ἀρχὴν ἣν ἂν θώμεθα μεγίστην καὶ τιμιωτάτην, αὕτη σκεψαμένη etc. v. Muret. Var. Lectt. xiv. 5.—Paullo post ad οὐκ ἂν subaudi ἦν φίλ' ἄττα. Aristoph.

μὴ φιλεῖν; Οὐκ ἔμοιγε δοκεῖ. Ἔσται ἄρα καὶ τῶν κακῶν ἀπολομένων,[u] ὡς ἔοικε, φίλ' ἄττα. Ναί. Οὐκ ἄν, εἰ γε[v] τὸ κακὸν αἴτιον ἦν τοῦ[w] φίλον τι εἶναι, οὐκ ἂν ἦν τούτου[x] ἀπολομένου[y] φίλον ἕτερον ἑτέρῳ. αἰτίας γὰρ ἀπολομένης ἀδύνατόν που ἦν ἔτ' ἐκεῖνο[z] εἶναι οὗ[a] ἦν αὕτη ἡ αἰτία.[b] Ὀρθῶς λέγεις. Οὐκοῦν ὡμολόγηται ἡμῖν τὸ φίλον φιλεῖν τι καὶ διά τι· καὶ ᾠήθημεν τότε γε[c] διὰ τὸ κακὸν τὸ μήτε ἀγαθὸν μήτε κακὸν τὸ[d] ἀγαθὸν φιλεῖν. Ἀληθῆ. Νῦν δέ γε, ὡς ἔοικε, φαίνεται ἄλλη τις αἰτία τοῦ φιλεῖν τε καὶ φιλεῖσθαι. Ἔοικεν. Ἆρ'
I. i. 143. οὖν τῷ ὄντι, ὥς περ ἄρτι ἐλέγομεν,[e] ἡ[f] ἐπιθυμία τῆς φιλίας αἰτία, καὶ τὸ ἐπιθυμοῦν φίλον ἐστὶ τούτῳ[g] οὗ ἐπιθυμεῖ καὶ τότε ὅταν ἐπιθυμῇ, ὃ δὲ τὸ[h] πρότερον ἐλέγομεν φίλον εἶναι, ὕθλος[i] τις ἦν, ὥς περ ποίημα μακρὸν συγκείμενον; Κινδυνεύει, ἔφη. Ἀλλὰ μέντοι,[j] ἦν δ' ἐγώ, τό γε[k] ἐπιθυμοῦν, οὗ ἂν ἐνδεὲς ᾖ, τούτου[l] ἐπιθυμεῖ. ἦ γάρ; Ναί. Τὸ δ' ἐνδεὲς ἆρα φίλον ἐκείνου οὗ ἂν ἐνδεὲς ᾖ;[m] Δοκεῖ μοι. Ἐνδεὲς δὲ γίγνεται οὗ ἄν τις ἀφαιρῆται.[n] [§. 41.] Πῶς δ' οὔ; Τοῦ οἰκείου δή, ὡς ἔοικεν, ὅ τε ἔρως καὶ ἡ φιλία καὶ ἡ ἐπιθυμία τυγχάνει[o] οὖσα, ὡς φαίνεται,[p] ὦ Μενέξενέ τε[q]

[t] καὶ om Θ.—[u] ἀπολλομένων E, qui similiter paulo infra.—[v] τε f.—[w] τοῦ om Α.—[x] τούτου τοῦ Θ.—[y] ἀπολουμένου ϒ.—[z] ἔτ' ἐκεῖνον f, ἐκεῖνο ἔτ' ϒ.—[a] οὗ ἂν E.—[b] ἡ αἰτία αὕτη ϱ.—[c] γε om Γ.—[d] τὸ ante ἀγαθὸν om f.—[e] ἐλέγομεν ἄρτι Γ, ἔτι ἐλέγομεν f: ἄρα ἐλέγομεν Eσ.—[f] ἡ om f.—[g] τούτου Eσ.—[h] καὶ ϒ.—[i] ὗθλός Θ.—[j] μὴν f.—[k] τε Γ.—[l] τούτου.—[m] ᾖ om f.—[n] ἀφαιρῆται ΓΘϒ, ἀφηρῆται Ξ: ἀφῄρηται *σ.—[o] τυγχάνοι f, ταχὺ Θ.—[p] ὡς φαίνεται om pr u.—[q] τε om ΓΣεf.—[r] λύσις ΑΘ,

Nub. 5. Οἱ δ' οἰκέται ῥέγκουσιν· ἀλλ' οὐκ ἂν προτοῦ. Conf. Valcken. ad Herodot. vi. 68. HEIND.

ὕθλος τις ἦν—συγκείμενον] Ni præstat *συγκείμενος*, hoc *συγκείμενον* referendum certe ad prægressum *ὅ*. Conf. ad Hipp. Maj. §. 13. Illud expressit Cornarius: *nugæ erant velut longum poema compositæ*. HEIND.

ἐνδεὲς] Vel scribendum *ἐνδεὴς*, ut conveniat cum *τις*: vel potius reponendum *τι*, retinendo *ἐνδεές*. STEPH.

Hic aut *ἐνδεὴς* scribendum, aut potius reponendum *τἰ* pro *τὶς*, judicabat Stephanus. Prius maluit Cornarius: *indiget autem quis eo, quod ipsi negatum est*, et sane alterutro opus est; utrum sit verum, non dijudico, quanquam propter prægressa illa *τὸ ἐπιθυμοῦν* et *τὸ ἐνδεὲς*, posterius magis placet, hoc sensu: *indigum autem aliquid fit ejus rei, qua est privatum?* HEIND.

§. 41. *τοῦ οἰκείου δή, ὡς ἔοικεν,—οὖσα, ὡς φαίνεται*] Verba hæc *ὡς φαίνεται*, a Ficino et Cornario non expressa, saltem arte jungenda prioribus; vulgo enim sic distinctum—*οὖσα*. Ὡς *φαίν*. Quanquam duplici hac formula *ὡς ἔοικεν* et *ὡς φαίνεται* equidem admodum offendor, neque facile ullum aliud ejusmodi exemplum in Platone reperias. An placet *Οὕτως φαίνεται, ὦ Μεν. τε καὶ Λύσι*; HEIND.

καὶ Λύσι.[r] Συνεφάτην. Ὑμεῖς ἄρα εἰ φίλοι ἐστὸν ἀλλήλοις, φύσει πη οἰκεῖοί ἐσθ' ὑμῖν αὐτοῖς. Κομιδῇ, ἐφάτην. Καὶ εἰ ἄρα τις ἕτερος ἑτέρου ἐπιθυμεῖ, ἦν δ' ἐγώ, ὦ παῖδες, ἢ ἐρᾷ,[s] οὐκ ἄν ποτε ἐπεθύμει οὐδὲ ἤρα οὐδὲ ἐφίλει, II. 222.
εἰ μὴ οἰκεῖός πη τῷ ἐρωμένῳ[t] ἐτύγχανεν ὤν[u] ἢ κατὰ τὴν[v] ψυχὴν ἢ κατά τι τῆς[w] ψυχῆς ἦθος ἢ τρόπους[x] ἢ εἶδος. Πάνυ γε, ἔφη ὁ Μενέξενος· ὁ δὲ Λύσις ἐσίγησεν. Εἶεν, ἦν δ' ἐγώ. τὸ μὲν δὴ φύσει οἰκεῖον ἀναγκαῖον ἡμῖν πέφανται φιλεῖν. Ἔοικεν, ἔφη. Ἀναγκαῖον ἄρα τῷ γνησίῳ ἐραστῇ καὶ μὴ προσποιήτῳ φιλεῖσθαι ὑπὸ τῶν παιδικῶν. Ὁ μὲν I. i. 144.
οὖν Λύσις καὶ ὁ Μενέξενος μόγις πως[y] ἐπενευσάτην, ὁ δὲ Ἱπποθάλης ὑπὸ τῆς ἡδονῆς παντοδαπὰ ἠφίη[z] χρώματα.

Καὶ ἐγὼ εἶπον, βουλόμενος τὸν λόγον ἐπισκέψασθαι, Εἰ μέν τι τὸ οἰκεῖον τοῦ ὁμοίου διαφέρει,[a] λέγοιμεν ἄν τι, ὡς[b] ἐμοὶ δοκεῖ,[c] ὦ Λύσι τε καὶ Μενέξενε, περὶ φίλου, ὃ[d] ἔστιν· εἰ δὲ ταὐτὸν τυγχάνει ὂν ὅμοιόν[d] τε καὶ οἰκεῖον, οὐ ῥᾴδιον ἀποβαλεῖν[e] τὸν πρόσθεν λόγον, ὡς οὐ[f] τὸ ὅμοιον τῷ ὁμοίῳ κατὰ τὴν ὁμοιότητα ἄχρηστον· τὸ δὲ ἄχρηστον φίλον ὁμολογεῖν[g] πλημμελές. [§. 42.] Βούλεσθ' οὖν, ἦν δ' ἐγώ, ἐπειδὴ ὥς περ μεθύομεν[h] ὑπὸ τοῦ λόγου, συγχωρήσωμεν καὶ φῶμεν ἕτερόν τι εἶναι τὸ[i] οἰκεῖον[k] τοῦ ὁμοίου; Πάνυ γε.

λῦσι Γ.—[s] ἢ ἐρᾷ ante ἦν ponit f.—[t] τῶν ἐρωμένων ΑΘΕr et pr Γ.—[u] ὂν Α.—[v] τὴν om f.—[w] τῆς om f.—[x] τρόπος Θ.—[y] μόλις ποτὲ γρ r. μέντοι ΓΣΕf cum s.—[z] libri ἠφίει.—[a] τοῦ οἰκείου διαφέροι r.—[b] ἄν τι, ὡς] ἄν πως ΑΘr.—[c] δοκῇ r.—[d] ὅμοιόν...τὸ om f.—[e] ἀπολιπεῖν ΑΘ, ἀπολεῖν r.—[f] οὐ om r.—[g] ὁμολογεῖν φίλον r.—[h] μυθεύομεν ΑΘΕuſr.—[i] τὸ...εἶναι om Σ.—[k] οἰκεῖον τῷ λόγῳ Γ.—[l] οὗ πρὸς Θ.—

παντοδαπὰ ἠφίει χρώματα] Plat. Epist. vii. p. 349. A. Ὁ δὲ ἀκούσας ἀνεφλέχθη τε καὶ παντοδαπὰ χρώματα ἧκεν, οἷα ἂν θυμούμενος ἀφείη. Quod dicendi genus a Platonis imitatoribus certatim est frequentatum. Heind.

εἰ μέντοι τὸ οἰκεῖον] Ne quis malit εἰ μέν τι, Parmenid. p. 161. A. Εἰ μέντοι μήτε τὸ ἓν, μήτ' ἐκεῖνο, μήτ' ἔσται, ἀλλὰ περὶ ἄλλού του ὁ λόγος, οὐδὲ φθέγγεσθαι δεῖ οὐδέν· εἰ δὲ —. Heind.

οὐ ῥᾴδιον ἀποβαλεῖν τὸν πρόσθεν λόγον, ὡς οὐ] Explicatur ὁ πρόσθεν λόγος seqq. verbis ὡς τὸ ὅμοιον τῷ ὁμοίῳ κατὰ τὴν ὁμοιότητα ἄχρηστον, ut facile hærere possit Græcorum consuetudini non assuetus in particula οὐ, quæ tamen proba est adeoque necessaria. Latine sic sententiam explanaverim: *Si vero idem est simile atque proprium, non est facile priorem rejicere rationem, ut non putemus, simile simili, quatenus simile est, inutile esse.* Ergo ἀποβαλεῖν τὸν λόγον h. l. est *rejecta priori ratione sententiam ita mutare, ut putemus* etc. Simili βραχυλογίᾳ Gorg. p. 493. C. ἀλλὰ πότερον πείθω τί σε καὶ μετατίθεσαι, εὐδαιμονεστέρους εἶναι τοὺς κοσμίους τῶν ἀκολάστων; i. e. *persuadeone tibi mutataque sententia putas, feliciores esse temperantes libidinosis?* Euthyphr. p. 9. D. ἀλλ' ἄρα τοῦτο νῦν ἐπανορθούμεθα ἐν τῷ λόγῳ, ὡς ὃ μὲν ἂν πάντες οἱ θεοὶ μισῶσιν, ἀνόσιόν ἐστιν etc. Conf. Hutchins. ad Xenoph. Cyrop. p. 520. Heind.

Πότερον οὖν καὶ τἀγαθὸν οἰκεῖον θήσομεν παντί, τὸ δὲ κακὸν ἀλλότριον εἶναι; ἢ τὸ μὲν κακὸν τῷ κακῷ οἰκεῖον, τῷ δὲ ἀγαθῷ τὸ ἀγαθόν, τῷ δὲ μήτε ἀγαθῷ μήτε κακῷ τὸ μήτε ἀγαθὸν μήτε κακόν; Οὕτως ἐφάτην δοκεῖν σφίσιν ἕκαστον ἑκάστῳ οἰκεῖον εἶναι. Πάλιν ἄρα, ἦν δ' ἐγώ, ὦ παῖδες, οὓς[l] τὸ πρῶτον λόγους ἀπεβαλόμεθα[m] περὶ φιλίας, εἰς τούτους εἰσπεπτώκαμεν.[n] ὁ γὰρ ἄδικος τῷ ἀδίκῳ καὶ ὁ κακὸς τῷ κακῷ οὐδὲν ἧττον φίλος ἔσται ἢ ὁ ἀγαθὸς τῷ ἀγαθῷ. Ἔοικεν,[o]
I. i. 145. ἔφη. Τί δαί;[p] τὸ ἀγαθὸν καὶ τὸ οἰκεῖον ἂν ταὐτὸν φῶμεν εἶναι, ἄλλο[q] τι ὁ[r] ἀγαθὸς τῷ ἀγαθῷ μόνον φίλος; Πάνυ γε. Ἀλλὰ μὴν καὶ τοῦτό γε ᾠόμεθα ἐξελέγξαι ἡμᾶς αὐτούς. ἢ οὐ μέμνησθε; Μεμνήμεθα. Τί οὖν ἂν[s] ἔτι χρησαίμεθα τῷ λόγῳ; ἢ δῆλον ὅτι οὐδέν; δέομαι οὖν, ὥς περ οἱ σοφοὶ ἐν τοῖς δικαστηρίοις, τὰ εἰρημένα ἅπαντα ἀναπεμπάσασθαι.[t] εἰ γὰρ μήτε οἱ φιλούμενοι μήτε οἱ φιλοῦντες μήτε οἱ ὅμοιοι μήτε οἱ ἀνόμοιοι μήτε οἱ ἀγαθοὶ μήτε οἱ οἰκεῖοι μήτε τἆλλα[u] ὅσα διεληλύθαμεν—οὐ γὰρ ἔγωγε ἔτι μέμνημαι ὑπὸ τοῦ πλήθους—,[v] ἀλλ' εἰ μηδὲν τούτων[w] φίλον ἐστίν,[x] ἐγὼ μὲν οὐκέτι ἔχω τί λέγω.[y]
II. 223. Ταῦτα δ' εἰπὼν ἐν νῷ εἶχον ἄλλον[z] ἤδη[a] τινὰ τῶν πρεσβυτέρων κινεῖν.[b] κᾆτα,[c] ὥς περ δαίμονές τινες, προσελθόντες οἱ παιδαγωγοί, ὅ τε τοῦ Μενεξένου καὶ ὁ τοῦ[d] Λύσιδος, ἔχοντες αὐτῶν τοὺς ἀδελφούς, παρεκάλουν[e] καὶ ἐκέλευον αὐ-

[m] ἀπεβαλλόμεθα Ξρ.—[n] πεπτώκαμεν Εσ.—[o] ἔοικεν...ἀγαθῷ om Γ.—[p] δαί Θ et corr Α : δέ *σ.—[q] ἢ ἄλλο ΑΘ, om f : in *u* pro ἄλλο *τι* litura est, cui rc manus ε inscripsit τι.—[r] libri ἢ δ.—[s] ἂν om Ε.—[t] ἀναπεμπάσασθαι Α, ἀναπεμπάσασθε Θ.—[u] τἆλλα vel τἄλλα Γρ : τὰ ἄλλα *σ.—[v] διὰ τὸ πλῆθος f.—[w] τῶν Γ.—[x] ἐστι φίλον f, φίλων ἐστὶ ΓΒCuy.—[y] λέγειν f.—[z] ἄλλων Ε.—[a] εἴδη ρ.—[b] αἰνεῖν ρ.—[c] κατὰ Α.

§. 42. ἀλλὰ μὴν καὶ τοῦτό γε ᾠόμεθα] Parum accurate Cornarius: *atqui et hoc nos ipsi reprobavimus.* Hoc dicit: *atqui in hoc quoque videbamur nobis nosmet ipsos redarguisse.* Neque enim infrequens est ἐλέγχειν duplici accusativo junctum. Apolog. p. 23. A. οἴονται γάρ με—ταῦτα αὐτὸν εἶναι σοφὸν, ἃ ἂν ἄλλον ἐξελέγξω. Conf. Hipp. Maj. §. 18. Post illa Δέομαι οὖν ὥσπερ οἱ σοφοὶ —ἀναπεμπάσασθαι sine dubio trahenda sunt ad ἀνακεφαλαίωσιν illam in peroratione. V. Quintil. Inst. vi. 1. De voce ἀναπεμπάσασθαι vid. Lex. Tim. p. 33. ibique Ruhnk. HEIND.

§. 43. κινεῖν] *Ad dicendum excitare.* de rep. i. p. 329. D. Καὶ ἐγὼ ἀγασθεὶς αὐτοῦ εἰπόντος ταῦτα, βουλόμενος ἔτι λέγειν αὐτὸν, ἐκίνουν καὶ εἶπον. Amator. p. 134. A. Καί μοι ἔδοξεν ἤδη ἐνταῦθα κινητέος εἶναι ὁ φιλογυμναστὴς, ἵνα μοι βοηθήσειε. Conf. Charmid. §. 22. Illud ὥσπερ δαίμονές τινες an de improviso istorum adventu accipiendum? an de tristi formidolosoque habitu? Certi nihil exputo. HEIND.

τοὺς οἴκαδε[f] ἀπιέναι· ἤδη γὰρ ἦν ὀψέ. τὸ μὲν οὖν πρῶτον καὶ ἡμεῖς καὶ οἱ περιεστῶτες αὐτοὺς ἀπηλαύνομεν· ἐπειδὴ δὲ[g] οὐδὲν ἐφρόντιζον ἡμῶν, ἀλλ' ὑποβαρβαρίζοντες ἠγανάκτουν τε[h] καὶ οὐδὲν ἧττον ἐκάλουν, ἀλλ' ἐδόκουν ἡμῖν ὑποπεπωκότες[i] ἐν τοῖς Ἑρμαίοις ἄποροι εἶναι προσφέρεσθαι, ἡττηθέντες οὖν αὐτῶν διελύσαμεν τὴν συνουσίαν.[j] ὅμως δ'[k] ἔγωγε ἤδη ἀπιόντων αὐτῶν, Νῦν μέν,[l] ἦν δ' ἐγώ, ὦ Λύσι τε καὶ Μενέξενε, καταγέλαστοι γεγόναμεν ἐγώ τε, γέρων ἀνήρ, καὶ ὑμεῖς. ἐροῦσι γὰρ οἵδε ἀπιόντες ὡς οἰόμεθα ἡμεῖς ἀλλήλων φίλοι εἶναι—καὶ ἐμὲ γὰρ ἐν ὑμῖν τίθημι—, οὔπω δὲ ὅ τι ἔστιν ὁ φίλος οἷοί τε ἐγενόμεθα ἐξευρεῖν. r. i. 146.

—[d] καὶ τοῦ, omisso ὁ, f.—[c] παρεκάλουν om f.—[f] οἴκαδ' uyef.—[g] δὲ om e.—[h] τε om f.—[i] ὑποπεπωκότες Θ et corr fortasse Α: ὑποπεπτωκότες *s.—[j] οὐσίαν pr Ξ.—[k] δ' om ΞΣBCEuyes.—[l] δὲ BCEs.

ἀλλ' ἐδόκουν] Ἀλλὰ hoc negligentius iteratum; commodius utique scripsisset καὶ ἐδόκ. Heind.

ὑποπεπτωκότες] Non ὑποπεπτωκότες sed ὑποπεπωκότες Platonem scripsisse puto; quamvis et Fic. lectionem illam (quod altera illi in mentem non veniret) sequens, ita verterit, *videbantur enim nobis, quia festo succubuissent, nihil habere quod in medium afferrent.* Sed et verbum προσφέρεσθαι aliter interpretor: ut sit sensus hujus loci, *atque adeo videbantur nobis, quod plusculum poti forent, ejusmodi esse ut cum iis negotium nobis esse non posset.* Videtur autem vocula οὖν per pleonasmum posita esse post ἡττηθέντες. Steph.

Pro vulgato ὑποπεπτωκότες non cunctanter cum Stephano reposui ὑποπεπωκότες, qui sententiam loci hanc esse vidit: *videbantur nobis, quod plusculum poti forent, ejusmodi esse, ut cum iis negotium nobis esse non posset.* Ridicule Cornarius cum Ficino: *videbantur —non habere, quod in medium afferrent.* προσφέρεσθαι i. e. ὥστε ἡμᾶς προσφερέσθαι αὐτοῖς. Heind.

ἐν τοῖς Ἑρμ.] Vid. ad §. 3. Deinde οὖν post ἡττηθέντες, quod Stephano redundare videbatur, ita obvium est in apodosi post protasin longiorem, ubi orationem redorditur quodam modo. v. Valcken. Annotatt. Hemst. et Valck. Oratt. Subjectas p. 396. Cf. Plat. Euthyd. p. 295. A. de rep. ii. p. 367. C. Heind.

ἐγώ τε, γέρων ἀνὴρ, καὶ ὑμεῖς] Ficino duce, legendum censeam ἐγώ τε, γέρων ἀνὴρ, καὶ ὑμεῖς, νέοι. Hujusmodi antithesi in primis delectari solet Plato. Apol. Socr. 25. D. Τί δή ποτ' ὦ Μέλιτε, τοσοῦτον σὺ ἐμοῦ σοφώτερος εἶ τηλικούτον ὄντος τηλικόσδε ὤν, ὥστε— Legg. vii. 821. E. Καίτοι χαλεπά γε ὄντα οὐκ ἄν ποτε οἰόσθ' ἦν δηλοῦν τηλικούτοις οὖσι τηλικοῦτος. Theæt. 183. D. Νέος ὤν, ὦ Θεαίτητε, τοὺς πρεσβυτέρους ἀδικεῖν διδάσκεις; Menex. 234. A. Καὶ ἄρχειν ἡμῶν, ὦ θαυμάσιε, ἐπιχειρεῖς τῶν πρεσβυτέρων, τηλικοῦτος ὤν; Auctor dialogi, qui Hipparchus inscribitur, Platonem imitatus 225. D. Μὴ τοίνυν ἐπιχείρει με ἐξαπατᾷν, ἄνδρα πρεσβύτερον ἤδη, οὕτω νέος ὤν. Et magnam fere antithesi efficaciam addit orationis concinnitas. Tim. 47. C. συγγενεῖς ἐκείναις οὔσας, ἀταράκτοις τεταραγμένας. Menex. 241. A. Οἱ μὲν γὰρ Μαραθῶνι τοσοῦτον μόνον ἐπιδείξαντο τοῖς Ἕλλησιν, ὅτι κατὰ γὴν οἵοντε ἀμύνασθαι τοὺς βαρβάρους ὀλίγοις πολλούς· Ione 534. D. Ἵνα ἡμεῖς οἱ ἀκούοντες εἰδῶμεν ὅτι οὐχ οὗτοι εἰσὶν οἱ ταῦτα λέγοντες, οὕτω πολλοῦ ἄξια, οἷς νοῦν μὴ πάρεστιν. Gorg. 511. B. Καὶ σὺ ἐμοῦ ἄκουε, ὅτι ἀποκτενεῖ μὲν, ἂν βούληται· ἀλλὰ πονηρὸς ὢν καλὸν κἀγαθὸν ὄντα. Apol. S. 19. A. Ἐπιχειρητέον ὑμῶν ἐξελέσθαι τὴν διαβολὴν, ἣν ὑμεῖς ἐν πολλῷ χρόνῳ ἔχετε, ταύτην ἐν οὕτωσὶν ὀλίγῳ χρόνῳ. Ibid. 24. A. Quæ antitheseos efficacia reddenda videtur Timæo 86. E. Ὅπου γὰρ ἂν οἱ—χυμοὶ—τὴν ἀφ' αὑτῶν ἀτμίδα τῇ τῆς ψυχῆς φορᾷ συμμίξαντες ἀνακερασθῶσι, παντοδαπὰ νοσήματα ψυχῆς ἐμποιοῦσι, μᾶλλον καὶ ἧττον, καὶ ἐλάττω καὶ πλείω; ut legatur μᾶλλον καὶ ἧττον, ἐλάττω καὶ πλείω. Heusd.

ΠΡΩΤΑΓΟΡΑΣ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΕΤΑΙΡΟΣ, ΣΩΚΡΑΤΗΣ, ΙΠΠΟΚΡΑΤΗΣ, ΠΡΩΤΑΓΟΡΑΣ, ΑΛΚΙΒΙΑΔΗΣ, ΚΑΛΛΙΑΣ, ΚΡΙΤΙΑΣ, ΠΡΟΔΙΚΟΣ, ΙΠΠΙΑΣ.

ARGUMENTUM.

Hujus disputationis idem est cum Euthydemo scopus et argumentum : nempe ut inanes Sophistarum speculationes detegantur, conspectoque fastu et vanitate contemnantur, et procul rejiciantur. Proponuntur hic nonnullæ opiniones ex veræ philosophiæ quidem penu depromtæ, sed ita, ut adulterinis quibusdam pigmentis inficiantur. Primaria quæstio est, An virtus disci possit? quod quidem affirmat Protagoras : sed dum ad suæ illius opinionis probationem se accingit, ita agit, ut in varias contrarietatum angustias se inducat, et infructuosis disputationibus temere omnia permisceat : atque adeo non veræ scientiæ artifex et magister, sed futilium nugarum effictor merito videatur. Fuit enim Platonis consilium, sophistarum nænias traducere his exemplis, ut illos tanquam veræ philosophiæ corruptores detestemur, et ab illis plane abhorreamus. Hinc etiam præclara quædam documenta haurire licet, ex quibus hæc sunt : Sapientiam non esse nudam aut imaginariam rerum cognitionem, aut quæ perperam et vitiose agat : Non esse quidquam jucundum quod non sit bonum : Veræ scientiæ caput esse, ut vitam ex virtute componamus : Adulterinæ et fucatæ scientiæ notam esse, quum verba tantum adhibentur, nulla utilitas ad vitam bene instituendam redit.

ΠΡΩΤΑΓΟΡΑΣ.*

§. 1. Πόθεν, ὦ Σώκρατες, φαίνει; ἢ[a] δῆλα δὴ ὅτι ἀπὸ κυνηγεσίου τοῦ περὶ τὴν Ἀλκιβιάδου ὥραν; καὶ μήν Steph. I. 309. Bek. I. i. 149.

E Personis dialogi Protagoras disserendi arte, Hippias eruditione profunda, Prodicus linguæ augendæ studio celebrantur, Callias opulentia. Non Olymp. xc. ut vulgo existimatur, sed ante a. 3. Olymp. lxxxvii. dialogum aut compositum esse aut habitum fingi contendit Schleiermacher. Consilium hoc esse monet, ut, repudiatis omnibus Sophistarum rationibus et methodis, Socraticam unam omnium optimam esse instituendi rationem doceatur. Hinc in toto dialogo regnat ironia. Initium lectionis Platonicorum librorum ab hoc dialogo faciendum esse censet Hdf. Beck.

* Πρωτάγορας ἢ Σοφισταί. Ἐνδεικτικος] Petita est hæc inscriptio e Diog. Laert. Ed. Bip.

πόθεν, ὦ Σώκρατες] Protulit hæc usque ad verba Ἀλκιβ. ἔχει Athenæus v. 19. Schw. p. 345. ubi in Cod. φαίνει scriptum, quam secundæ personæ formam nunc vellem ubique a me Platonis orationi restitutam. Heind.

δηλαδὴ] Rectius δῆλα δὴ ὅτι, ut Cic. interpret. *an quidem dubium non est quin.* Steph.

δηλαδὴ] Utut Cicero ita aliquando vertat, δηλαδὴ tamen significat *videlicet.* Serran.

δηλαδὴ] Unus hic est locus e multis hujus philosophi in quibus hæc vox δηλαδὴ pro duabus δῆλα δὴ est posita: ut etiam δηλονότι non raro pro δῆλον ὅτι. Ad hunc autem locum quod attinet, in eo Ciceronis interpretatio, quod dico, comprobat; vertit enim, 'An quidem dubium non est quin ab Alcibiade?' Comprobant etiam ii loci in quibus ἦ δῆλον δὴ scriptum est: quorum unus est in Lachete T. ii. p. 190. τί οὖν ἂν προελοίμεθα τῶν τῆς ἀρετῆς μερῶν; ἦ δῆλον δὴ ὅτι τοῦτο, εἰς ὃ τείνειν δοκεῖ ἡ ἐν τοῖς ὅπλοις μάθησις; Sic autem et alibi: et quidem sæpius sine particula δή: ut in Hippia Majore T. iii. p. 283. σὺ αὐτὸς πόθεν πλεῖστον ἀργύριον εἰργάσω τῶν πόλεων εἰς ἃς ἀφικνῇ; ἦ δῆλον ὅτι ἐκ Λακεδαίμονος; Alicubi etiam cum ἦ, non ἤ: ut in Apologia, p. 36. non procul a principio. Ex his igitur locis emendandi sunt cum alii, tum vero quidam quem habes in principio Menexeni, Τί μάλιστα σὺ πρὸς βουλευτήριον; ἦ δηλαδὴ ὅτι παιδεύσεως καὶ φιλοσοφίας ἐπὶ τέλει ἥγῃ εἶναι; quidam etiam initio Phædri (ita enim sors tulit ut multorum dialogorum principiis hoc loquendi genus adhiberetur) Τίς οὖν δὴ ἦν διατριβή; ἦ δηλονότι τῶν λόγων ὑμᾶς Λυσίας εἱστία; Sic et in Euthyphrone, p. 4. ἦ δηλαδὴ, pro ἦ δῆλα δή; Ex horum autem locorum inter se collatione animadvertere mihi videor talem esse usum hujus generis loquendi, ut ab eo dicatur cui, postquam de aliqua re quempiam interrogavit, statim venit in mentem (ut quidem arbitratur) id ipsum, quod ex eo scire volebat, q. d. 'An po-

μοι καὶ πρώην ἰδόντι καλὸς μὲν ἐφαίνεθ[b] ἀνὴρ[c] ἔτι, ἀνὴρ μέντοι, ὦ Σώκρατες, ὡς γ' ἐν αὐτοῖς ἡμῖν εἰρῆσθαι, καὶ πώγωνος ἤδη ὑποπιμπλάμενος.

ΣΩ. Εἶτα τί τοῦτο; οὐ σὺ μέντοι Ὁμήρου ἐπαινέτης εἶ,

CODICES TREDECIM,
ΑΓΘΞΣBCE*rwyet*.

[a] ἦ Α.—[b] ἐφαίνετ' Γ: ἐφαίνετο *Σ.—[c] ὁ ἀνὴρ Athenæus 5, 19: libri ἀνήρ.—

tius de hoc non es interrogandus, quum ego conjectura possim assequi?' vel, 'Quum rationi consentaneum sit ut credam te ea de causa venisse?' vel, 'te illinc venire:' vel, 'te hoc fecisse:' vel, 'tales sermones habitos fuisse:' et ita supplendo ellipsin (est enim dicendi genus ellipticon) in cæteris locis, pro re de qua agitur. Simul autem statuendum est ἦ scribendum esse non ἦ: ideoque oportere illum in Apolog. locum, et alios, qui eandem scripturam habent, emendare. Quemadmodum autem et δηλονότι sæpe occurrit pro δῆλον ὅτι apud hunc philosophum (sicut et antea monui) etiam non præcedente ἦ, ita et δηλαδὴ pro δῆλα δή, etiam ubi non præfixa est illa particula, ut in Phædone, p. 80. non procul a principio, Ποτέρῳ οὖν ἡ ψυχὴ ἔοικε; Δηλαδὴ ὦ Σώκρατες, ὅτι ἡ μὲν ψυχὴ etc. ubi recte redditur *Nimirum:* posset vero et aliter eodem sensu reddi. Steph.

ἦ δῆλα δή] Etiam nuperrimus Athenæi Editor ἦ prætulit. Optime jam Stephanus talem esse monuerat hujus loquendi generis usum, ut ab eo diceretur, cui, postquam de aliqua re quempiam interrogasset, statim in mentem veniret id ipsum, quod ex illo scire voluisset, q. d. an potius de hoc non es interrogandus, quum ego conjectura assequi possim? Unice igitur in hac formula verum aptumque est ἦ. Scripsi autem et h. l. et §. 51. extr. δῆλα δή, utrobique etiam Stephano monente, pro vulgato δηλάδη, itidemque corrigendum Menexen. init. Euthyphr. p. 4. B. et sexcenties alibi. Alterum recte ponitur ubi particulæ vim habet neque cum reliqua structura cohæret. Initium autem hoc ita verterat in translatione sua Cicero, laudante Prisciano l. vi. p. 706. Putsch. *Quid tu? unde tandem appares, o Socrate? an id quidem dubium non est quin ab Alcibiade?* Heind.

ἀπὸ κυνηγεσίου] Venatoria vocabula ad rem amatoriam traducta dabit D. Wyttenbachii Ep. Crit. p. 51. Heind.

ἐφ. ἀν.] Athen. inserto art. ἐφαίνετο *δ ἀνήρ*. Vid. not. ad Phædon. §. 108. quanquam h. l. ego junxerim potius hæc καλὸς ἀνήρ. Heind.

πάντα τοι καλὰ] Propriam quasi sedem in γνώμαις habet vocula τοι. Hom. Odyss. θ. 329. Οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν. 351. Δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι. Theogn. ed. Brunck. v. 74. Παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον. Conf. v. 97. 155. 159. 163. 211. 218. 261. 265. 351. 355. 433. 449. 455. 615. etc. Soph. Philoct. 475. τοῖσι γενναίοισί τοι Τό τ' αἰσχρὸν ἐχθρὸν καὶ τὸ χρηστὸν εὐκλεές. Ibid. 637. ἥ τοι καίριος σπουδὴ, πόνου Λήξαντος, ὑπνὸν κἀνάπαυλαν ἤγαγεν. Ibid. 838. καιρός τοι πάντων γνώμαν ἴσχων πολὺ παρὰ πόδα κράτος ἄρνυται. Conf. Markland. ad Eurip. Iphig. Taur. v. 1061. Xenoph. Cyrop. viii. 7. 14. καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰκειότεροι καὶ σύσσιτοι ἀποσκήνων. Ibid. 15. Ἑαυτοῦ τοι κήδεται ὁ προνοῶν ἀδελφοῦ. Ibid. 16. Μόνου τοι—πρωτεύοντος ἀδελφοῦ παρ' ἀδελφῷ, οὐδὲ φθόνος παρὰ τῶν ἄλλων ἀφικνεῖται. Anab. vi. 3. 24. Ἡδύ τοι ἀνδρεῖόν τι καὶ καλὸν νῦν εἰπόντα καὶ ποιήσαντα μνήμην—παρέχειν ἑαυτοῦ. Heind.

καὶ οὐ ζητῶ, ἔφη] Vix hæc, opinor, iterasset Plato (cf. §. 87.) ni in Simonideo carmine subjecta fuissent proxime prægressis h. l. illis, Πάντα τοι καλὰ, τ. τ. α. μ. μ. Plane igitur assentior Schleiermachero Simonidea, sejunctis Platonicis, hunc in modum constituenti: Ἀνδρ' ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι χαλεπὸν, χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον ἄνευ ψόγου τετυγμένον. Οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημένον. Χαλεπὸν φάτο ἐσθλὸν ἔμμεναι. Θεὸς ἂν μόνος ἔχοι τοῦτο γέρας· ἄνδρα δ' οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι ὃν ἂν ἀμήχανος συμφορὰ καθέλῃ. Πράξας μὲν γὰρ εὖ πᾶς ἀνὴρ ἀγαθός· κακὸς δ', εἰ κακῶς· ἐπιπλεῖστον δὲ καὶ ἄριστοι οὓς θεοὶ φιλῶσιν. Ἔμοιγ' ἐξαρκεῖ ὃς ἂν μὴ κακὸς ᾖ μηδ' ἄγαν ἀπάλαμνος. Εἰδώς γ' ὀνήσει πόλιν δίκαν ὑγιὴς ἀνήρ. Οὔ μιν ἐγὼ μωμήσομαι· οὐ γάρ εἰμι φιλόμωμος. Τῶν γὰρ ἠλιθίων ἄπειρα γένεθλα. Πάντα τοι καλὰ τοῖσί τ' αἰσχρὰ μὴ μέμικται. Τοὔνεκεν οὔποτ' ἐγὼ τὸ μὴ γενέσθαι δυνατὸν διζήμενος κενεὰν ἐς ἄπρακτον ἐλπίδα μοῖραν αἰῶνος βαλέω, πανάμωμον ἄνθρωπον, εὐρυέδους ὅσοι καρπὸν αἰνύμεθα χθονός. Ἔπειθ' ὑμῖν εὑρὼν ἀπαγγελέω. Πάντας δ' ἐπαίνημι καὶ φιλέω, ἑκὼν ὅστις ἔρδῃ μηδὲν αἰσχρόν. Ἀνάγκῃ δ' οὐδὲ θεοὶ μάχονται. Continuo omnia tenore scripsi incertus, quid ubique prætermiserit Plato. Carminis autem reliquias hasce ut numeris suis, quantum fieri posset, restitueret, rogatus a me vir in hoc genere princeps, G. Hermannus, hunc in modum singulos versus digessit:

στρ. α'.

Ἀνδρ' ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι χαλεπὸν
χερσίν τε καὶ ποσὶ καὶ νόῳ
τετράγωνον ἄνευ ψόγου τε-
τυγμένον . . . . . .

(desunt septem integri versus.)

στρ. β'.

Οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται,
καίτοι σοφοῦ παρὰ φωτὸς εἰ-
ρημένον· χαλεπὸν φάτ' ἐσθλὸν
ἔμμεναι· ἦ θεὸς ἂν μόνος
τοῦτ' ἔχοι γέρας· ἄνδρα δ' οὐκ
ἔστι μὴ οὐ κακὸν ἔμμεναι,
ὃν ἂν ἀμήχανος συμφορὰ καθέλῃ·
πράξας γὰρ εὖ, πᾶς ἀνὴρ ἀγαθός·
κακὸς δ', εἰ κακῶς· καὶ
τοὐπιπλεῖστον ἄριστοι,
τούς κε θεοὶ φιλῶσιν.

ἐπῳδός.

Ἔμοιγ' ἐξαρκεῖ
ὃς ἂν μὴ κακὸς ᾖ,
μηδ' ἄγαν ἀπάλαμνος, εἰ-
δώς τ' ὀνησίπολιν δίκαν ὑγιὴς ἀνήρ.
οὔ μιν ἐγὼ μωμήσομαι.
οὐ γὰρ φιλόμωμος.
τῶν γὰρ ἠλιθίων ἄπειρα γένεθλα.
πάντα τοι καλὰ τοῖσί τ' αἰσχρὰ μὴ μέ-
μικται.

αἰνύμεθα χθονός· ἔπειθ' ὑμῖν εὑρὼν ἀπαγγελέω.[m] ὥστε τούτου γ'[n] ἕνεκα οὐδένα ἐπαινέσομαι, ἀλλά μοι ἐξαρκεῖ ἂν ᾖ μέσος καὶ μηδὲν[o] κακὸν ποιῇ, ὡς ἐγὼ πάντας[p] φιλέω καὶ ἐπαίνημι[q]—καὶ τῇ φωνῇ ἐνταῦθα κέχρηται τῇ τῶν Μυτιληναίων,[r] ὡς πρὸς Πιττακὸν λέγων τὸ πάντας δὲ ἐπαίνημι καὶ φιλέω ἑκών (ἐνταῦθα δεῖ[s] ἐν τῷ ἑκών διαλαβεῖν λέγοντα) ὅς τις[t] ἔρδῃ[u] μηδὲν αἰσχρόν,[v] ἄκων δ' ἔστιν οὓς ἐγὼ ἐπαινῶ καὶ φιλῶ. σὲ οὖν, καὶ εἰ μέσως ἔλεγες ἐπιεικῆ καὶ ἀληθῆ, ὦ Πιττακέ, οὐκ ἄν ποτε ἔψεγον· νῦν δέ, σφόδρα γὰρ καὶ[w] περὶ τῶν μεγίστων ψευδόμενος δοκεῖς ἀληθῆ λέγειν, διὰ ταῦτά σε ἐγὼ ψέγω. i. i. 220. i. 347.

§. 90. Ταῦτά μοι δοκεῖ, ὦ Πρόδικε καὶ Πρωταγόρα, ἦν δ' ἐγώ, Σιμωνίδης διανοούμενος πεποιηκέναι τοῦτο τὸ ᾆσμα.

Καὶ ὁ Ἱππίας, Εὖ μέν μοι δοκεῖς, ἔφη, ὦ Σώκρατες, καὶ σὺ[x] περὶ τοῦ ᾄσματος διειληλυθέναι· ἔστι μέντοι, ἔφη, καὶ ἐμοὶ λόγος περὶ αὐτοῦ εὖ ἔχων, ὃν ὑμῖν ἐπιδείξω, ἂν βούλησθε. Καὶ ὁ Ἀλκιβιάδης, Ναί, ἔφη, ὦ Ἱππία, εἰσαῦθίς γε· νῦν δὲ δίκαιόν ἐστιν ἃ ὡμολογησάτην πρὸς ἀλ-

[k] καλὰ ϒ.—[l] εὐρυεδοῦς ΑΘϒ : εὐρυέδους *Σ.—[m] ἀπαγγελλέω Γ.—[n] τ' Α.—[o] μηδὲ Ε.—[p] πάντα pr Ξ.—[q] ἐπαίνημι ΑΘ, ἐπαινῆμι ΞΣBCrwyε, ἐπαινοῖμι Ε : ἐπαινοῖμι Σ. sic et paullo post.—[r] μυτιληναίων ΑΘ : μιτυληναίων *Σ.—[s] δὲ Γ.—[t] ὅστις Θ.—[u] ἔρδει ϒ, ἔρδει corr Ξ.—[v] αἰσχρῷ ε.—[w] καὶ om ϒ.—[x] σὺ om pr Ξ.—[y] ἀποκρίνεσθαι

(vel potius
πάντα τοι καλὰ, τοῖσί τ'
αἰσχρὰ μὴ μέμικται.)
στρ. γ.
τοὔνεκεν οὔποτ' ἐγὼ τὸ μὴ γενέσθαι δυνατὸν
διζήμενος, κενεὰν ἐς ἄ-
πρακτον ἐλπίδα μοῖραν αἰῶ-
νος βαλέω, πανάμωμον ἄν-
θρωπον, εὐρυέδους ὅσοι
καρπὸν αἰνύμεθα χθονός.
Ἔπειθ' ὕμιν (vel ἔπειτ' ὔμμιν) εὑρὼν ἀπαγγελέω.
Πάντας δ' ἐπαίνημι καὶ φιλέω,
ἑκὼν ὅστις ἔρδῃ
μηδὲν αἰσχρόν· ἀνάγκῃ δ'
οὐδὲ θεοὶ μάχονται.

τούτου ἕνεκα] *Si hoc spectetur* s. *requiratur, τὸ πανάμωμον εἶναι.* Heind.

ἐπαινοῖμι] Vide num scrib. ἐπαίνημι, ut dictum est supra. Steph.

ἐπαίνημι] Edd. ἐπαινοῖμι. V. not. ad §. 87. Heind.

ὡς πρὸς Πιττακὸν λέγων] Is enim Mitylenæus. V. Laërt. i. 74. Heind.

ἐνταῦθα δεῖ ἐν τῷ ἑκὼν διαλαβ. λέγοντα] Interjectum a Socrate interpretamentum. *Hic oportet post ἑκὼν distinguere pronuntiando.* Heind.

ἐστὶν οὓς] Pro εἰσὶν οὕς. Xenoph. Anab. i. 5. 7. ἦν δὲ τούτων τῶν σταθμῶν οὓς πάνυ μακροὺς ἤλαυνεν, ubi vid. Schneider. Heind.

λέγειν] Post h. v. apposui *μέσην στιγμὴν*, adhuc eam tenens rationem quam exposui ad Theætet. §. 4. Heind.

§. 90. καὶ ἐμοὶ λόγος] Similiter ἐπιδείξεων suarum jactator in Hipp. Maj. §. 13. Ἔστι μοι περὶ αὐτῶν πάγκαλος λόγος συγκείμενος, καὶ ἄλλως εὖ διακείμενος καὶ τοῖς ὀνόμασι. Cf. Hipp. Min. 368. D. Heind.

λήλω Πρωταγόρας καὶ Σωκράτης, Πρωταγόρας μὲν εἰ ἔτι βούλεται ἐρωτᾶν, ἀποκρίνεσθαι[y] Σωκράτη,[z] εἰ δὲ δὴ βούλεται Σωκράτει[a] ἀποκρίνεσθαι, ἐρωτᾶν τὸν ἕτερον. [§. 91.] Καὶ ἐγὼ εἶπον Ἐπιτρέπω μὲν ἔγωγε Πρωταγόρᾳ ὁπότερον αὐτῷ ἥδιον· εἰ δὲ βούλεται, περὶ μὲν ᾀσμάτων τε καὶ ἐπῶν ἐάσωμεν, περὶ δὲ ὧν τὸ πρῶτον ἐγώ σε ἠρώτησα, ὦ Πρωταγόρα, ἡδέως ἂν ἐπὶ τέλος ἔλθοιμι μετὰ σοῦ σκοπούμενος. καὶ γὰρ δοκεῖ μοι τὸ περὶ ποιήσεως διαλέγεσθαι ὁμοιότατον εἶναι τοῖς συμποσίοις τοῖς τῶν φαύλων καὶ ἀγοραίων ἀν-
1. i. 221. θρώπων. καὶ γὰρ οὗτοι, διὰ τὸ μὴ δύνασθαι ἀλλήλοις δι' ἑαυτῶν συνεῖναι ἐν τῷ πότῳ μηδὲ διὰ τῆς ἑαυτῶν φωνῆς καὶ τῶν λόγων τῶν ἑαυτῶν ὑπὸ ἀπαιδευσίας, τιμίας ποιοῦσι τὰς

δὲ σωκράτη ϱ.—[z] Σωκράτη...ἀποκρίνεσθαι om Θ.—[a] βούλεσθαι σωκράτη ϒ.—[b] non

τὸν ἕτερον] γράφεται, τὸν Σωκράτη. STEPH.

§. 91. περὶ μὲν ᾀσμάτων—ἐάσωμεν] Alcib. i. p. 113. D. τὰ μὲν γὰρ τοιαῦτα ἡγοῦνται δῆλα εἶναι· ἐάσαντες οὖν περὶ αὐτῶν, σκοποῦσιν ὁπότερα συνοίσει πράξασι. HEIND.

καὶ γὰρ δοκεῖ μοι—κἂν πάνυ πολ. οἶνον πίωσιν] Hæc laudat Athen. Deipnos. iii. p. 97. A. Cas. HEIND.

ἀγοραίων] ἀγοραῖος, vel, ut Critici veteres volunt, ἀγόραιος (v. Casaub. ad Theoph. Char. vi.) est ὁ ἐν ἀγορᾷ τεθραμμένος, s. *qui totos dies forum conterit*, quem ἀγορᾶς περίτριμμα Comicus appellat, vilis et ex ima plebe homo. Aristoph. Eqq. 181. Ὅτιὴ πόνηρος κἀξ ἀγορᾶς εἶ καὶ θρασύς. 214. Τὰ δ' ἄλλα σοι προσέστι δημαγωγικὰ, Φωνὴ μιαρὰ, γέγονας κακὸς, ἀγοραῖος εἶ. 292. Κ. Βλέψον εἴς μ' ἀσκαρδάμυκτος. Α. ἐν ἀγορᾷ κἀγὼ τέθραμμαι. 636. Ἄγε δὴ, Σκίταλοι —Ἀγορά τ', ἐν ᾗ παῖς ἂν ἐπαιδεύθην ἐγὼ, Νῦν μὲν θράσος καὶ γλῶτταν εὔπορον δότε. Id. Pace 750. κἀπύργωσ' οἰκοδομήσας Ἔπεσιν μεγάλοις καὶ διανοίαις καὶ σκώμμασιν οὐκ ἀγοραίοις.—Tum sine art. Athen. καὶ λόγων τῶν ἑαυτῶν—τιμίας ποιοῦσι τὰς αὐλητρ. Male Latinus Athenæi interpres: *magni faciunt tibicinas*. Sensus est, *tibicinarum pretia amplificant*. Xenoph. Rat. Red. p. 925. A. ἐκεῖνο μέντοι οἶδα ὅτι καὶ χρυσίον, ὅταν πολὺ παραφαίνῃ, αὐτὸ μὲν ἀτιμότερον γίγνεται, τὸ δὲ ἀργύριον τιμιώτερον ποιεῖ. HEIND.

τιμ. ποι. τ. αὐλ.] Manifesta apparent vestigia simultatis illius, quæ Platonem inter et Xenophontem fuit. Animadvertit Athen. xi. p. 504. F. locum in Plat. Sym. p. 176. E. ubi tibicina, quæ aderat, e convivio dimittitur, oppositum esse Xenophontis Symposio: συμπόσια μὲν γὰρ γεγράφασιν ἀμφότεροι, καὶ ἐν αὐτοῖς ὁ μὲν τὰς αὐλητρίδας ἐκβάλλει, ὁ δὲ εἰσάγει. Sed magis etiam et acrius hoc loco idem ille Xenophontis libellus a Platone exagitatur. Quod tenendum, si quidem disputationis hujus vim omnem ac significationem percipere studeamus. Cæterum illud πολλοῦ μισθούμενοι ἀλλοτρίαν φωνὴν τὴν τῶν αὐλῶν, καὶ διὰ τῆς ἐκείνων φωνῆς ἀλλήλοις σύνεισιν· venustatis est Platonicæ. Sic Rep. viii. p. 568. C. Εἰς δέ γε, οἶμαι, τὰς ἄλλας περιϊόντες πόλεις, ξυλλέγοντες τοὺς ὄχλους, καλὰς φωνὰς καὶ μεγάλας καὶ πιθανὰς μισθωσάμενοι, εἰς τυραννίδας τε καὶ δημοκρατίας ἕλκουσι τὰς πολιτείας. HEUSD.

Ut demus, Platonis in Symposio locum illum p. 176. E. oppositum esse Xenophontis Symposio, quod voluit Athenæus xi. p. 504. F. hic ubi sermo est de veris conviviis, quibus vulgo tibicinas et saltatrices adhibitas esse constat, plane non video, cur, quod judicabat Heusdius, magis etiam et acrius eundem illum Xenophontis libellum a Platone exagitatum putemus. Qui cupide illius, quam somniavit, Platonem inter et Xenophontem ζηλοτυπίας vestigia indagavit, ne Athenæus quidem h. l. ullam Xenophontei libri significationem agnovit. HEIND.

αὐλητρίδας, πολλοῦ[b] μισθούμενοι ἀλλοτρίαν φωνὴν τὴν τῶν αὐλῶν, καὶ διὰ τῆς ἐκείνων[c] φωνῆς ἀλλήλοις σύνεισιν. ὅπου δὲ καλοὶ κἀγαθοὶ συμπόται[d] καὶ[e] πεπαιδευμένοι εἰσίν, οὐκ ἂν ἴδοις οὔτ' αὐλητρίδας οὔτε ὀρχηστρίδας οὔτε ψαλτρίας, ἀλλ' αὐτοὺς αὑτοῖς ἱκανοὺς ὄντας συνεῖναι ἄνευ τῶν λήρων τε καὶ παιδιῶν[f] τούτων διὰ τῆς αὑτῶν φωνῆς, λέγοντάς τε καὶ ἀκούοντας ἐν μέρει ἑαυτῶν κοσμίως, κἂν πάνυ πολὺν οἶνον πίωσιν. [§. 92.] Οὕτω δὲ καὶ αἱ τοιαίδε συνουσίαι ἐὰν μὲν λάβωνται ἀνδρῶν οἷοί περ ἡμῶν[g] οἱ πολλοί φασιν εἶναι, οὐδὲν δέονται ἀλλοτρίας φωνῆς οὐδὲ ποιητῶν, οὓς οὔτε ἀνερέσθαι[h] οἷόν τ' ἐστὶ περὶ ὧν λέγουσιν, ἐπαγόμενοί τε[i] αὐτοὺς οἱ πολλοὶ ἐν τοῖς λόγοις οἱ μὲν ταῦτά φασι τὸν ποιητὴν νοεῖν, οἱ δ' ἕτερα, περὶ πράγματος[j] διαλεγόμενοι οὗ[k] ἀδυνατοῦσιν ἐξελέγξαι· ἀλλὰ τὰς μὲν τοιαύτας συνουσίας ἐῶσι χαίρειν, αὐτοὶ δ' ἑαυτοῖς σύνεισι δι' ἑαυτῶν, ἐν τοῖς ἑαυτῶν λόγοις πεῖραν ἀλλήλων λαμβάνοντες καὶ διδόντες. τοὺς τοιούτους μοι δοκεῖ χρῆναι μᾶλλον μιμεῖσθαι ἐμέ τε καὶ σέ, καταθεμένους τοὺς[l] ποιητὰς αὐ- 1. 348. 1. i. 222.

post αὐλητρίδας sed post πολλοῦ interpungit E.—[c] ἀλλήλων Σ.—[d] ἐμπόται E.—[e] καὶ om Αγ.—[f] παίδων Γ.—[g] ὑμῶν Γ.—[h] ἀνερέσθαι corr Σ: ἀνέρεσθαι *ς.—[i] τε om Γ.—[j] γράμματος ε.—[k] οὗ rc Σ, ὃ τ: om *ς.—[l] καταθεμένους τε τοὺς rc Σ.—

συν.—συμπ.] Athen. ξύνεισι et ξυμπόται. HEIND.

§. 92. ἐὰν μὲν λάβωνται ἀνδρῶν] *Quando compotes quasi factæ fuerint virorum* cet. λαβέσθαι, *prehendere, nancisci*, perinde ut ἔχεσθαι et similia, genitivo jungitur plerumque. Demosth. in Aristogit. i. p. 779. τίς δ' ἂν ἄλλος μᾶλλον—πᾶσαν ἀνατρέψειε τὴν πόλιν, εἰ λάβοιτ' ἐξουσίας; Id. in Aristocrat. p. 675. δηλῶσαι ὡς εἶχεν εὐνοϊκῶς ὑμῖν, καιροῦ τοιούτου λαβόμενον. In qua tamen dictione accusativum posuit Diod. Sic. xviii. 46. ἠξιοῦν—λήψεσθαι καιρὸν οἰκεῖον ταῖς ἰδίαις ἐπιβολαῖς. Lysias Epitaph. p. 117. ὡς—εὐτυχὴς ὁ τῆς Ἀσίας βασιλεὺς ἑτέρων ἡγεμόνων λαβόμενος. Eurip. Orest. 1170. Ἑνὸς γὰρ εἰ λαβοίμεθ', εὐτυχοῖμεν ἄν. HEIND.

οἱ δ' ἕτερα περὶ πράγματος διαλ.] *Alii aliud de re disputantes non tamen argumentis pervincere possunt.* In his offendit articulo suo destitutum hoc πράγματος, quod ad rem jam significatam, poëtarum sententias, refertur; quem defectum si quis toleret, minus tamen accurate hæc scripta fatebitur; sic potius scribenda fuisse, οἱ μὲν ταῦτα λέγοντες τὸν ποιητὴν νοεῖν, οἱ δ' ἕτερα περὶ τοῦ πράγματος διαλεγόμενοι ἀδυνατοῦσιν ἐξελέγξαι. Nam in utrisque sane hæc inest ἀδυναμία τοῦ ἐξελέγξαι. Ita nondum displicet quod olim in mentem venit, ut legamus, οἱ μὲν ταῦτά φασι τὸν ποιητὴν νοεῖν, οἱ δ' ἕτερα (sc. φασὶ τ. π. ν.), περὶ πράγματος διαλεγόμενοι ὃ ἀδυνατοῦσιν ἐξελέγξαι, eique conjecturæ favere videtur vetus Ficini versio:—*partim hoc, partim illud sentire poetam interpretantur, neque convincere possunt neque rem ipsam, de qua disserunt, expedire.* HEIND.

τοὺς τοιούτους μοι δοκεῖ—σὲ, καταθεμένους etc.] Scribi, copula addita, potuit, καὶ καταθεμ. sed longe in exegesi asyndeton hoc præstat. de legg. iv. p. 708. B. Οὐ τοίνυν εὔκολος ὁμοίως γίγνοιτ' ἂν ὁ κατοικισμὸς ταῖς πόλεσιν, ὅταν

τοὺς δι'[m] ἡμῶν αὐτῶν πρὸς ἀλλήλους τοὺς λόγους ποιεῖσθαι, τῆς ἀληθείας καὶ ἡμῶν αὐτῶν πεῖραν λαμβάνοντας. κἂν μὲν βούλῃ ἔτι ἐρωτᾶν, ἕτοιμός εἰμί σοι παρέχειν ἀποκρινόμενος· ἐὰν δὲ βούλῃ, σὺ ἐμοὶ παράσχες,[n] περὶ ὧν μεταξὺ ἐπαυσάμεθα διεξιόντες, τούτοις τέλος ἐπιθεῖναι.

§. 93. Λέγοντος οὖν ἐμοῦ ταῦτα καὶ τοιαῦτ'[o] ἄλλα οὐδὲν ἀπεσάφει[p] ὁ Πρωταγόρας ὁπότερα ποιήσοι.[q] εἶπεν οὖν ὁ Ἀλκιβιάδης πρὸς τὸν Καλλίαν βλέψας, Ὦ Καλλία, δοκεῖ σοι, ἔφη, καὶ νῦν καλῶς Πρωταγόρας ποιεῖν, οὐκ ἐθέλων εἴτε δώσει[r] λόγον εἴτε μὴ διασαφεῖν; ἐμοὶ γὰρ[s] οὐ[t] δοκεῖ. ἀλλ' ἤτοι διαλεγέσθω ἢ εἰπέτω ὅτι οὐκ ἐθέλει διαλέγεσθαι, ἵνα τούτῳ[u] μὲν ταῦτα συνειδῶμεν,[v] Σωκράτης δὲ ἄλλῳ[w] τῳ διαλέγηται ἢ ἄλλος ὅς τις ἂν[x] βούληται ἄλλῳ. Καὶ ὁ Πρωταγόρας αἰσχυνθείς, ὡς γ' ἐμοὶ[y] ἔδοξε, τοῦ τε Ἀλκιβιάδου ταῦτα[z] λέγοντος καὶ τοῦ Καλλίου δεομένου καὶ τῶν ἄλλων σχεδόν τι τῶν παρόντων, μόγις προὐτράπετο[a] εἰς τὸ διαλέγεσθαι καὶ ἐκέλευεν ἐρωτᾶν αὐτὸν[b] ὡς ἀποκρινούμενος.[c]

§. 94. Εἶπον δὴ ἐγώ, Ὦ Πρωταγόρα, μὴ οἷόν διαλέγεσθαί μέ[d] σοι ἄλλο τι βουλόμενον ἢ ἃ[e] αὐτὸς ἀπορῶ ἑκάστοτε, ταῦτα[f] διασκέψασθαι. ἡγοῦμαι γὰρ πάνυ λέγειν τι τὸν Ὅμηρον τὸ

1. i. 223.

[m] δ' w.—[n] πάρασχε αὐτῶν ΑΞΕs.—[o] τοιαῦτ' Γ.—[p] ἀπεσάφη ΑΒΕ et pr Γ, ἀπεσάφησεν Σ.—[q] ποιήσει rt.—[r] δώσειν t.—[s] ἐμοὶ μὲν γὰρ r.—[t] οὐ om t.—[u] τοῦτο Cy.—[v] συνείδωμεν Α, συνίδωμεν t.—[w] ἄλλό Α.—[x] δοτισοῦν ἂν Γ.—[y] ὥς γ' ἐμοὶ ΓΞΣ BCwyet, ὥστε μοι ΑΘ: ὥς γέ μοι *s.—[z] ταῦτα om Σ.—[a] προυτράπετο ΑΘ cum γρ ά ΣΕ, προυτρέπετο BCr, που ἐτράπετο t: προυτρέπετο *s.—[b] αὐτὸν Α.—[c] ἀποκρινόμενος t.—[d] μοι C.—[e] ἃ om w.—[f] ταῦτα om E.—[g] καί σε Γ.—[h] οἱ om r.—[i] alte-

μὴ τὸν τῶν ἐσμῶν γίγνηται τρόπον, ἓν γένος ἀπὸ μιᾶς ἰὸν χώρας οἰκίζηται cet. Heind.

παρέχειν] Sc. ἐμαυτόν. V. ad Gorg. §. 25. Quod subsequitur πάρασχε, a quo pendent seqq. τούτοις τέλος ἐπιθεῖναι, est *permitte*. Xenoph. Rat. Red. p. 925. B. παρέχει (ἡ πόλις) ἐπὶ ἰσοτελείᾳ καὶ τῶν ξένων τῷ βουλομένῳ ἐργάζεσθαι ἐν τοῖς μετάλλοις. Heind.

§. 93. σχεδόν τι] Suppleri ad σχεδόν τι potest πάντων. Pari modo de legg. i. p. 644. A. δ—λόγος—μενέτω, ὡς οἵ γε ὀρθῶς πεπαιδευμένοι σχεδὸν ἀγαθοὶ γίγνονται. Demosth. Olynth. iii. extr. σχεδὸν εἴρηκα ἃ νομίζω συμφέρειν. Heind.

ἐκελ. ἐρ. αὐτὸν] γράφεται, ἐκέλευεν ἐμὲ ἐρωτᾶν, ὡς αὐτὸς ἀποκρινούμενος. Steph.

§. 94. ἡγοῦμαι γὰρ πάνυ λέγ. τι] *Arbitror enim, utique verum aliquid dicere Homerum illud* etc. Versus significat Iliad. κ'. 224. Σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὁ τοῦ ἐνόησεν, Ὅππως κέρδος ἔῃ· μοῦνος δ' εἴπερ τε νοήσῃ, Ἀλλά τέ οἱ βράσσων τε νόος, λεπτὴ δέ τε μήτις.

σύν τε δύ' ἐρχομένω, καί τε[g] πρὸ οὗ τοῦ ἐνόησεν. εὐπορώτεροι γάρ πως ἅπαντές ἐσμεν οἱ[h] ἄνθρωποι πρὸς ἅπαν ἔργον καὶ λόγον καὶ[i] διανόημα· μοῦνος[j] δ' εἴ πέρ τε νοήσῃ,[k] αὐτίκα περιὼν[l] ζητεῖ ὅτῳ ἐπιδείξηται[m] καὶ μεθ' ὅτου βεβαιώσηται, ἕως ἂν ἐντύχῃ.[n] ὡς περ καὶ ἐγὼ ἕνεκα τούτου σοὶ ἡδέως διαλέγομαι μᾶλλον ἢ ἄλλῳ τινί, ἡγούμενός σε βέλτιστ' ἂν ἐπισκέψασθαι καὶ περὶ τῶν ἄλλων περὶ ὧν εἰκὸς σκοπεῖσθαι τὸν ἐπιεικῆ, καὶ δὴ καὶ περὶ ἀρετῆς. τίνα γὰρ ἄλλον ἢ σέ; ὅς γε οὐ μόνον αὐτὸς οἴει καλὸς κἀγαθὸς εἶναι, ὥς πέρ τινες ἄλλοι αὐτοὶ μὲν ἐπιεικεῖς εἰσίν, ἄλλους δὲ οὐ δύνανται ποιεῖν· σὺ δὲ καὶ αὐτὸς ἀγαθὸς[o] εἶ καὶ ἄλλους οἷός τ' εἶ ποιεῖν ἀγαθούς, καὶ οὕτω πεπίστευκας σαυτῷ, ὥστε καὶ ἄλλων ταύτην τὴν τέχνην ἀποκρυπτομένων σύ γ' ἀναφανδὸν σεαυτὸν ὑποκηρυξάμενος[p] εἰς πάντας τοὺς Ἕλληνας, σοφιστὴν[q] ἐπονομάσας, σεαυτὸν ἀπέφηνας παιδεύσεως καὶ ἀρετῆς διδάσκαλον, πρῶτος τούτου μισθὸν ἀξιώσας ἀρνυσθαι. [§. 95.] Πῶς οὖν οὔ σε χρῆν[r] παρακαλεῖν ἐπὶ τὴν τούτων σκέψιν καὶ ἐρωτᾶν καὶ ἀνακοινοῦσθαι; οὐκ ἔσθ' ὅπως οὔ. καὶ νῦν δὴ ἐγὼ ἐκεῖνα, ἅ περ τὸ πρῶτον ἠρώτων

I. 349.

I. i. 224.

ram καὶ om Θ.—[j] μόνος ΓΞ.—[k] νοήσει γ.—[l] περιὼν BCy, περὶ ὧν ΑΘ.—[m] ἐπιδείξεται...βεβαιώσεται γ.—[n] ἐντύχῃ τῳ rc Σ: ἐντύχοι Eσ.—[o] ἀγαθούς om r.—[p] ἀποκηρυξάμενος w.—[q] ἕλληνας καὶ σοφιστὴν Γ.—[r] χρῆν ΑΘγ: χρὴ *σ.—[s] ξ. e.—

Sympos. p. 174. D. Σύν τε δύ', ἔφη, ἐρχομένω, πρὸ ὁ τοῦ βουλευσόμεθα ὅ, τι ἐροῦμεν. Auctor Alcib. ii. p. 140. A. Ἀλλ' ἐὰν ἔμοιγε προσέχῃς τὸν νοῦν, σύν τε δύο σκεπτομένω σχεδὸν εὑρήσομεν. πρὸ ὁ τοῦ est ἕτερος πρὸ ἑτεροῦ. Heind.

εὐπορώτεροι γάρ πως ἅπ. etc.] Ad plenum sensum deest οὕτως, quod aut inserendum aut in locum voculæ πως substituendum. Nisi forte in his excidit σύνδυο. Heind.

ἕως ἂν ἐντύχῃ] Sic sermonis lége correxi vulgatum ἐντύχοι. Heind.

ἕνεκα τούτου σοι—διαλέγομαι—, ἡγούμενος] Herodot. i. 86. τοῦδε εἵνεκεν ἀνεβίβασε ἐπὶ τὴν πυρὴν, βουλόμενος εἰδέναι εἴ τίς μιν δαιμόνων ῥύσεται cet. Et conf. not. ad Phædon. §. 118. Heind.

τίνα γὰρ ἄλλον] *Ecquem vero alium arbitrarer illa facultate valere?* Ut post τίνα γὰρ ἄλλον ἤ σε, subaudiantur ex præcedentibus ista, ἡγοίμην βέλτιστ' ἂν ἐπισκέψασθαι, &c. Steph.

πεπίστευκας σαυτῷ] Ipsius Sophistæ verba illa respicit §. 20. sqq. Heind.

σεαυτὸν ὑποκηρυξάμενος] *Te ipsum præconio quodam venditans.* Æschin. in Ctesiph. p. 432. ἄλλοι δέ τινες ὑποκηρυξάμενοι (*præconis voce*) τοὺς αὑτῶν οἰκέτας ἀφίεσαν ἀπελευθέρους. Proxima hæc, εἰς πάντας τοὺς Ἕλληνας σοφ. ἐπονομάσας, qua mente dicat Socrates, declarant superiora illius, ubi Hippocrati dixit, σὺ δὲ, πρὸς θεῶν, οὐκ ἂν αἰσχύνοιο εἰς τοὺς Ἕλληνας αὐτὸν σοφιστὴν παρέχων;—πρῶτος μισθὸν ἄρνυσθαι—. Cf. ad §. 48. Heind.

§. 95. οὐκ ἔσθ' ὅπως οὔ καὶ νῦν δὴ] Post δὴ deleo interpunct. ut οὐκ ἔσθ' ὅπως οὐ jungatur sequentibus: hoc modo, οὐκ ἔσθ' ὅπως οὐ καὶ νῦν δὴ ἐπιθυμῶ ἀκοῦσαι, &c. hoc sensu, *fieri certe nullo modo potest, quin cupiam, &c.* Steph.

Procul absum, ut Stephano assentiar, qui, sublata post νῦν δὴ distinctione, sic vertendum putat: *fieri certe nullo modo*

περὶ τούτων, πάλιν ἐπιθυμῶ ἐξ ἀρχῆς τὰ μὲν ἀναμνησθῆναι παρὰ σοῦ, τὰ δὲ συνδιασκέψασθαι.[s] ἦν δέ, ὡς ἐγῷμαι, τὸ ἐρώτημα τόδε. σοφία καὶ σωφροσύνη καὶ ἀνδρία καὶ δικαιοσύνη καὶ ὁσιότης, πότερον ταῦτα, πέντε ὄντα ὀνόματα, ἐπὶ ἑνὶ πράγματί ἐστιν, ἢ ἑκάστῳ[t] τῶν ὀνομάτων τούτων ὑπόκειταί[u] τις ἴδιος οὐσία καὶ πρᾶγμα ἔχον ἑαυτοῦ δύναμιν ἕκαστον, οὐκ ὂν οἷον τὸ ἕτερον αὐτῶν τὸ ἕτερον; ἔφησθα οὖν σὺ οὐκ ὀνόματα ἐπὶ ἑνὶ εἶναι, ἀλλ'[v] ἕκαστον ἰδίῳ πράγματι τῶν ὀνομάτων τούτων[w] ἐπικεῖσθαι, πάντα δὲ ταῦτα μόρια εἶναι ἀρετῆς, οὐχ ὡς τὰ τοῦ χρυσοῦ μόρια ὅμοιά ἐστιν ἀλλήλοις καὶ τῷ ὅλῳ οὗ μόριά ἐστιν, ἀλλ'[x] ὡς τὰ τοῦ προσώπου μόρια καὶ τῷ ὅλῳ οὗ μόριά ἐστιν καὶ ἀλλήλοις ἀνόμοια, ἰδίαν ἕκαστα δύναμιν ἔχοντα. ταῦτα εἰ[y] μέν σοι δοκεῖ ἔτι[z] ὥς περ τότε, φάθι· εἰ δὲ ἄλλως πως, τοῦτο διόρισαι, ὡς ἔγωγε οὐδέν σοι ὑπόλογον[a] τίθεμαι, ἐάν πῃ ἄλλῃ

[t] ἕκαστον corr Σ.—[u] ὑπόκειται...τούτων om Σ, suffectis rc ἐπ' ἄλλῳ τε καὶ ἄλλῳ πράγματι φὴς κεῖσθαι: om et wε.—[v] ἀλλ' Γ.—[w] τούτων om ϱ.—[x] ἀλλ'...ἐστιν om Σ, qui in mg ἀλλὰ τῷ τε ὅλῳ.—[y] εἰ om w.—[z] ἔτι ante δοκεῖ ponit s, om E.—[a] ὑπὸ

potest quin cupiam, &c. Nam ne dicam, ex hoc loco hanc sententiam, nisi extorquendo, duci non posse, ipsa sententia quo se commendet nihil magnopere habet. Sed hæc unice recta videtur difficultatis superandæ ratio, si distinguatur post *οὐ*, et *καὶ νῦν δὴ* sequentibus connectatur. Frequentissime apud Platonem *οὐκ ἔσθ' ὅπως οὐ* hoc modo elliptice ponitur: cujus dictionis putidum sit exempla cumulare. Præstat monere ante *συνδιασκέψασθαι* inserendum videri *σοί*. Locum sic item legit Ficinus, nisi quod *οὐκ ἔσθ' ὅπως οὐ* Protagoræ esse responsum putavit. Sed totam hanc orationem a Socrate proficisci ipsius evincit orationis habitus ac ratio. Heusd.

Uti distinguenda hæc esse Heusdius monuit, ita ipsa docet ratio. Edd. *οὐκ ἔσθ' ὅπως οὐ καὶ νῦν δή·* (Bas. 2. *δέ.*) *ἐγὼ ἐκ.* De usu hoc vocularum *νῦν δὴ* notavi ad Sophist. §. 14. In seqq. *τὰ δὲ συνδιασκέψασθαι*, accuratius sane, interjecto *σοι*, scripsisset, *τὰ δέ σοι συνδιασκ.* nec tamen id prorsus necesse existimo. Heind.

ἀνδρία] Uti reliquis locis, Ald. et Bass.—*ἦν δὲ, ὡς ἐγῷμ. τὸ ἐρώτημα τόδε.* V. §. 50. sq. Heind.

ὑπὸ λόγον] Malo *ὑπόλογον*, ut sit pro *ἐν οὐδενὶ ὑπολόγῳ τίθεμαι*, ut loquitur Demosth. Nisi autem et pro *οὐδὲν* scribendum sit *οὐδένα*, dicendum erit *ὑπόλογον* pro adjectivo aut substantivo neutro esse positum. Quamvis et alibi *ὑπὸ λόγον* legatur, disjuncte scriptum, in eadem significatione, sed cum verbo *ποιεῖσθαι*, non dubito quin hic conjuncte *ὑπόλογον* scribere oporteat. Locus autem in quo itidem *ὑπὸ λόγον* habetur, est in Lachete T. ii. p. 189. *λέγ' οὖν ὅ, τι σοὶ φίλον, μηδὲν τὴν ἡμετέραν ἡλικίαν ὑπὸ λόγον ποιούμενος.* Sed quæ ratio hic ad istam scripturam tuendam afferri potest, non posset et illic afferri; hic enim duo sunt accusativi, illic unicus. Cæterum et Fic. illo in loco *οὐδὲν σοὶ ὑπὸ λόγον τίθεμαι*, vertit *nihil imputabo*: sed possit etiam reddi fortasse, *non postulo ut rationem mihi reddas ejus, quod dixeris*, vel, *mutatæ sententiæ.* Steph.

οὐδέν σοι ὑπόλογον τίθεμαι] H. e. *οὐδὲν ὑπολογίζομαι, nihil curo s. pensi habeo.* Vulgo, ut aliis fere locis, divise, *οὐδέν σοι ὑπὸ λόγον τίθ.* præter sermonis analogiam. *ὑπόλογον* jam Steph. monuit et h. l. scribendum et Lach. p. 189. B. *σοι φίλον, μηδὲν τὴν ἡμετέραν—.* Harpocrat. Ὑπόλογον. *Λυσίας περὶ ἀμβλώσεως, εἰ γνήσιος· οὐχ ὑπόλογον ὄντα ἀντὶ*

νῦν φήσης·[b] οὐ γὰρ ἂν θαυμάζοιμι εἰ τότε ἀποπειρώμενός μου ταῦτά πως[c] ἔλεγες. [§. 96.] Ἀλλ' ἐγώ σοι, ἔφη, λέγω, ὦ Σώκρατες, ὅτι ταῦτα πάντα μόρια μέν ἐστιν ἀρετῆς, καὶ τὰ μὲν τέτταρα αὐτῶν ἐπιεικῶς παραπλήσια ἀλλήλοις ἐστίν, ἡ δὲ ἀνδρία πάνυ πολὺ διαφέρον πάντων τούτων. ὧδε δὲ γνώσει ὅτι ἐγὼ ἀληθῆ λέγω· εὑρήσεις γὰρ πολλοὺς τῶν ἀνθρώπων ἀδικωτάτους μὲν ὄντας καὶ[d] ἀνοσιωτάτους καὶ ἀκολαστοτάτους[e] καὶ ἀμαθεστάτους, ἀνδρειοτάτους δὲ διαφερόντως. Ἔχε δή, ἔφην ἐγώ· ἄξιον γάρ τοι[f] ἐπισκέψασθαι ὃ λέγεις. πότερον τοὺς ἀνδρείους θαρραλέους λέγεις ἢ ἄλλο τι; Καὶ ἴτας γε,[g] ἔφη, ἐφ' ἃ οἱ πολλοὶ φοβοῦνται ἰέναι. Φέρε δή, τὴν ἀρετὴν καλόν τι[h] φὴς εἶναι, καὶ ὡς καλοῦ ὄντος αὐτοῦ σὺ διδάσκαλον σαυτὸν παρέχεις; Κάλλιστον μὲν οὖν, ἔφη,[i] εἰ μὴ μαίνομαί γε. [§. 97.] Πότερον οὖν, ἦν δ' ἐγώ, τὸ μέν τι[j] αὐτοῦ αἰσχρόν, τὸ δέ τι[k] καλόν,[l] ἢ ὅλον καλόν; Ὅλον που καλὸν ὡς οἷόν τε μάλιστα. Οἶσθα οὖν τίνες εἰς τὰ φρέατα κολυμβῶσι θαρραλέως; Ἔγωγε ὅτι[m] οἱ κολυμβηταί. Πότερον διότι ἐπίστανται ἢ δι' ἄλλο τι; Ὅτι ἐπίστανται. Τίνες δὲ ἀπὸ τῶν ἵππων πολεμεῖν[n] θαρραλέοι εἰσί; πότερον οἱ ἱπ- I. i. 225. I. 350.

λόγων Α: ὑπὸ λόγον *ς.—[b] θήσεις ϒ.—[c] πως add Γ.—[d] ὅτι ϒ, om ΣBCErwγε.—[e] καὶ ἀκολαστοτάτους om ϒ.—[f] τι Γ.—[g] γ' rwγεϒ.—[h] τι om Γ.—[i] ἔφην Α.—[j] μέν τοι Crw.—[k] τοι r.—[l] που καλὸν om Γ, cui ὅλον add rc.—[m] ἐγώ τε ὅτι ΑΘ.—

τοῦ, οὐκ ἐν λόγῳ. Lysias Or. iv. p. 181. δεῖ ὑμᾶς—ἐνθυμουμένους, ὅτι περὶ τῆς πατρίδος μοι—ὁ ἀγών ἐστιν, ἐν ὑπολόγῳ ταύτας τὰς προκλήσεις ποιεῖσθαι, ubi vid. Taylor. et Markland. Cf. ejusd. Or. xxviii. p. 284. Reisk. et Or. xxx. p. 851. Demosth. pro Phormion. p. 959. et in Theocrin. p. 1329. Apud eund. Aristogit. i. p. 790. ubi legitur, εἰ δὲ μηδένα τούτων ὑπόλογον ποιεῖται etc. scr. εἰ δὲ μηδὲν τούτ. ὑ. π. Heind.

§. 96. ἔχε δὴ] *Subsiste.* Formula est *revocandi retinendique, si quis alio pergere aut aliud acturus videatur.* Aristoph. Vesp. 1149. ἔχ', ὦ 'γαθέ, Καὶ στῆθ' ἀναμπισχόμενος (Sic Cod. Rav. pro στῆθί γ' ἀμπισχόμενος). Pac. 1193. Ἔχ', ἀποκάθαιρε τὰς τραπέζας ταυτηΐ. Adde not. ad Gorg. §. 35. Heind.

καὶ ἴτας γε] Alias de *audaci temerarioque periculorum facinorumve susceptore* usurpatum vocabulum τοῦ ἴτου (Aristoph. Nub. 444. Θρασὺς, εὔγλωττος, τολμηρὸς, ἴτης, Βδελυρὸς etc.) h. l. in meliorem ponitur partem, ut Sympos. p. 203. D. κατὰ δὲ αὖ τὸν πατέρα ἐπίβουλός ἐστιν (ὁ Ἔρως) τοῖς ἀγαθοῖς καὶ τοῖς καλοῖς, ἀνδρεῖος ὢν καὶ ἴτης καὶ σύντονος. Significatur autem h. l. vocabuli etymon ἀπὸ τοῦ ἰέναι, unde structura hæc ἴτας ἐφ' ἃ cet. Heind.

εἰ μὴ μαίνομαί γε] *Pulcherrimum ego dico: alioqui,* ni dicerem, *insanus forem.* Aristoph. Thesmoph. 470. Μισῶ τὸν ἄνδρ' ἐκεῖνον, εἰ μὴ μαίνομαι. Simile huic loquendi genus, εἰ μὴ ἀδικῶ γε, illustravi ad Charmid. §. 8. Heind.

§. 97. τὸ μέν τι αὐτοῦ] Recte sic Stephanus. Nam in Ald. et Bass. legitur τὸ μέν τοι. Vid. Viger. de Gr. D. Idiot. C. I. §. xvi. ibiq. notata. Mox κολυμβᾷν h. l. est *urinari.* Heind.

πικοὶ[o] ἢ οἱ ἄφιπποι; Οἱ ἱππικοί. Τίνες δὲ πέλτας ἔχοντες; οἱ πελταστικοὶ ἢ οἱ μή; Οἱ[p] πελταστικοί. καὶ τἆλλά[q] γε πάντα, εἰ τοῦτο ζητεῖς, ἔφη, οἱ ἐπιστήμονες τῶν μὴ[r] ἐπισταμένων θαῤῥαλεώτεροί εἰσι, καὶ αὐτοὶ ἑαυτῶν, ἐπειδὰν
1. i. 226. μάθωσιν, ἢ πρὶν μαθεῖν. [§. 98.] Ἤδη δέ τινας ἑώρακας, ἔφην, πάντων τούτων[s] ἀνεπιστήμονας[t] ὄντας, θαῤῥοῦντας δὲ πρὸς ἕκαστα[u] τούτων; Ἔγωγε, ἦ δ' ὅς, καὶ λίαν γε[v] θαῤῥοῦντας. Οὐκοῦν οἱ θαῤῥαλέοι οὗτοι[w] καὶ ἀνδρεῖοί εἰσιν; Αἰσχρὸν μέντ' ἄν, ἔφη, εἴη[x] ἡ ἀνδρία, ἐπεὶ οὗτοί γε μαινόμενοί εἰσιν. Πῶς οὖν, ἔφην ἐγώ, λέγεις τοὺς ἀνδρείους; οὐχὶ τοὺς[y] θαῤῥαλέους εἶναι; Καὶ νῦν γ', ἔφη. Οὐκοῦν οὗτοι, ἦν δ' ἐγώ, οἱ οὕτω θαῤῥαλέοι ὄντες οὐκ ἀνδρεῖοι ἀλλὰ μαινόμενοι φαίνονται; καὶ ἐκεῖ αὖ οἱ σοφώτατοι οὗτοι καὶ θαῤῥαλεώτατοί εἰσι, θαῤῥαλεώτατοι δὲ ὄντες ἀνδρειότατοι;[z] καὶ κατὰ τοῦτον τὸν λόγον ἡ σοφία ἂν ἀνδρία εἴη; [§. 99.] Οὐ καλῶς, ἔφη, μνημονεύεις, ὦ Σώκρατες, ἃ ἔλεγόν τε καὶ ἀπεκρινόμην σοι. ἔγωγε ἐρωτηθεὶς ὑπὸ[a] σοῦ εἰ[b] οἱ ἀνδρεῖοι θαῤῥαλέοι εἰσίν, ὡμολόγησα· εἰ δὲ καὶ οἱ θαῤῥαλέοι ἀνδρεῖοι, οὐκ ἠρωτήθην· εἰ γάρ με τότε[c] ἤρου, εἶπον ἂν ὅτι οὐ πάντες. τοὺς δὲ ἀνδρείους ὡς οὐ θαῤῥαλέοι εἰσί, τὸ ἐμὸν

[n] πολεμεῖν om E.—[o] οἱ ἱππικοὶ om Γ.—[p] Οἱ om ϱ.—[q] τἆλλα Γ.—[r] μὴ om ϱ.—[s] τούτων πάντων Γ.—[t] ἐπιστήμονας pr E.—[u] ἕκαστον Υ.—[v] γε om ΓE.—[w] οὗτοι... ἐπεὶ om w.—[x] εἴη ante ἔφη ponit Γ, om ϱ.—[y] τοὺς...ἀλλὰ om Σ, additis supra οὐχὶ τε εἰ καὶ ἐνταῦθα.—[z] ἀνδρεία ἂν ϱ.—[a] γὰρ ὑπὸ τε Γ.—[b] καὶ wϱ.—[c] τοῦτο Eσ.—

§. 98. *οὐκοῦν οἱ θαῤῥαλέοι οὗτοι καὶ ἀνδρ. εἰσίν;*] *Nonne igitur hi, quos dicimus, fidentes etiam fortes sunt?* Ita h. l. nemo non acceperit pronomen *οὗτοι*. Aliter hoc accipiendum mox ubi sequuntur hæc, *Οὐκοῦν οὗτοι οἱ οὕτω θαῤῥαλέοι ὄντες οὐκ ἀνδρεῖοι, ἀλλὰ μαινόμενοι φαίνονται, καὶ ἐκεῖ αὖ οἱ σοφώτατοι οὗτοι καὶ θαῤῥαλεώτατοί εἰσι*, in quibus nemo sic jungere voluerit, *οὗτοι οἱ σοφώτατοι, hoc sapientissimorum genus.* Quippe hoc sensu scribi oportebat *οἱ σοφώτατοι ἐκεῖνοι*, quanquam ne id quidem aptum foret post illud *ἐκεῖ*. Omissum igitur in his post *οἱ σοφώτατοι* participium *ὄντες*, cui adjunctum foret pronomen *οὗτοι* ex pervulgato illo more, quem post Jensium ad Lucian. Dial. Mar. iii. (ed. Bip. T. ii. p. 355. sq.) et Morum ad Isocrat. Paneg. §. 11. nuper in Meletem. Crit. p. 84. illustravit Schæferus. HEIND.

§. 99. *τοὺς δὲ ἀνδρείους ὡς οὐ θαῤῥαλέοι εἰσί*] Hæc quum pendere a proxime seq. *τὸ ἐμὸν ὁμολόγημα* videantur, idque ipsum, *τοὺς ἀνδρείους θαῤῥαλέους εἶναι*, supra concesserit Protagoras, ubi Socrati quærenti *πότερον τοὺς ἀνδρείους θαῤῥαλέους λέγεις ἢ ἄλλο τι*, respondit ita, *καὶ ἵτας γε, ἐφ' ἃ οἱ πολλοὶ φοβοῦνται ἰέναι* §. 96.: hæreat hic aliquis in negatione *οὐ*, quæ tamen plane est ex Græci sermonis proprietate. Lysid. §. 41. *οὐ ῥᾴδιον ἀποβαλεῖν τὸν πρόσθεν λόγον, ὡς οὐ τὸ ὅμοιον τῷ ὁμοίῳ κατὰ τὴν ὁμοιότητα ἄχρηστον.* Atqui supra ibi demonstratum fuerat, *simile simili, quatenus simile sit, inutile esse.* Ergo ut ibi in his, *ἀποβαλεῖν τὸν πρόσθεν λόγον*, breviloquentia quædam inest, sic fere explenda, *non est facile priorem sententiam ita rejicere, ut putemus* etc. ita h. l.

ὁμολόγημα οὐδαμοῦ ἐπέδειξας[d] ὡς οὐκ ὀρθῶς ὡμολόγησα. ἔπειτα τοὺς ἐπισταμένους αὐτοὺς ἑαυτῶν θαῤῥαλεωτέρους ὄντας ἀποφαίνεις καὶ μὴ ἐπισταμένων ἄλλων, καὶ ἐν τούτῳ οἴει τὴν ἀνδρίαν καὶ τὴν σοφίαν ταὐτὸν εἶναι. τούτῳ δὲ τῷ r. i. 227.
τρόπῳ μετιὼν καὶ τὴν ἰσχὺν οἰηθείης ἂν εἶναι σοφίαν. πρῶτον μὲν γὰρ εἰ οὕτω μετιὼν ἔροιό με εἰ οἱ[e] ἰσχυροὶ δυνατοί εἰσι, φαίην ἄν· ἔπειτα, εἰ οἱ[f] ἐπιστάμενοι παλαίειν δυνατώτεροί εἰσι τῶν μὴ ἐπισταμένων παλαίειν καὶ αὐτοὶ αὑτῶν, ἐπειδὰν μάθωσιν, ἢ πρὶν μαθεῖν, φαίην ἄν· [§. 100.] ταῦτα δὲ ἐμοῦ ὁμολογήσαντος ἐξείη ἄν σοι, χρωμένῳ τοῖς αὐτοῖς τεκμηρίοις τούτοις, λέγειν ὡς κατὰ τὴν ἐμὴν ὁμολογίαν ἡ σοφία ἐστὶν ἰσχύς. ἐγὼ δὲ οὐδαμοῦ οὐδ' ἐνταῦθα[g] ὁμολογῶ τοὺς δυνατοὺς ἰσχυροὺς εἶναι, τοὺς μέντοι ἰσχυροὺς δυνατούς· οὐ γὰρ ταὐτὸν εἶναι δύναμίν τε καὶ ἰσχύν, ἀλλὰ r. 351.
τὸ μὲν καὶ[h] ἀπὸ ἐπιστήμης γίγνεσθαι, τὴν δύναμιν, καὶ ἀπὸ μανίας τε[i] καὶ ἀπὸ[j] θυμοῦ, ἰσχὺν δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας τῶν σωμάτων. οὕτω δὲ κἀκεῖ οὐ ταὐτὸν εἶναι θάρσος τε καὶ ἀνδρίαν. ὥστε συμβαίνει[k] τοὺς μὲν ἀνδρείους θαῤῥαλέους εἶναι, μὴ μέντοι τούς γε[l] θαῤῥαλέους ἀνδρείους πάντας· θάρσος μὲν γὰρ καὶ ἀπὸ τέχνης γίγνεται ἀνθρώποις καὶ ἀπὸ θυμοῦ τε καὶ ἀπὸ μανίας, ὥς περ ἡ δύναμις, ἀνδρία δὲ ἀπὸ φύσεως καὶ εὐτροφίας[m] τῶν ψυχῶν γίγνεται. [§. 101.] Λέγεις δέ τινας, ἔφην, ὦ Πρωταγόρα, τῶν

[d] ἀπέδειξας r.—[e] οἱ ante ἰσχυροὶ om ΑΘ et pr Γ.—[f] οἷει Α.—[g] οὐδὲν ταὐθ' r.—[h] καὶ post μὲν om Γ.—[i] τε Θωr, γε B: γε *s.—[j] τοῦ Γ, om r.—[k] συμβαίνειν Bs.

in verbis τὸ ἐμὸν ὁμολόγημα—ὡμολόγησα, hæc fere latet sententia, *quod concessi ego, nusquam tu falsum id esse demonstrans illud docuisti* cet. Exemplis ibi ad Lysid. allatis adde Menon. p. 89. D. τὸ μὲν γὰρ διδακτὸν αὐτὸ εἶναι, εἴπερ ἐπιστήμη ἐστὶν, οὐκ ἀνατίθεμαι μὴ οὐ καλῶς λέγεσθαι. ὅτι δ' οὐκ ἔστιν ἐπιστήμη, σκέψαι ἐάν σοι δοκῶ εἰκότως ἀπιστεῖν, ubi pro nostri sermonis indole vitiose redundat negatio. Euthyphr. p. 8. B. Ἀλλ' οἶμαι—περί γε τούτου τῶν θεῶν οὐδένα ἕτερον ἑτέρῳ διαφέρεσθαι, ὡς οὐ δεῖ δίκην διδόναι ἐκεῖνον, ὃς ἂν ἀδίκως τινὰ ἀποκτείνῃ. Heind.

ἔπειτα] *Porro*, sic positum h. l. quasi præcessisset πρῶτον μέν. Heind.

§. 100. ἀλλὰ τὸ μὲν γίγνεσθαι, τὴν δύναμιν] Gorg. §. 121. ὅτι ἡ μὲν τούτου οὖ θεραπεύει, καὶ τὴν φύσιν ἔσκεπται, καὶ τὴν αἰτίαν ὧν πράττει, καὶ λόγον ἔχει τούτων ἑκάστου δοῦναι, ἡ ἰατρική· ἡ δ' ἑτέρα etc. ubi vid. not. Heind.

καὶ ἀπὸ μανίας γε] Non hoc γε mutem ego in τε, quamvis deinde sequatur, θάρσος μὲν γὰρ καὶ ἀπὸ τέχνης γίγνεται ἀνθρώποις καὶ ἀπὸ θυμοῦ τε καὶ ἀπὸ μανίας. γε similiter certe in plurium rerum enumeratione usurpari docuimus ad Hipp. Maj. §. 47. ubi laudatis locis si quis forte τε reponendum judicet, num idem judicabit de Xenoph. Hieron. 2. 1. Πολλοὺς—ὁρῶ—ἑκόντας μειονεκτοῦντας καὶ σίτων καὶ ποτῶν καὶ ὄψων (imo ὀσμῶν cf. i. 24.) καὶ ἀφροδισίων γε ἀπεχομένους? Heind.

r. i. 228. ἀνθρώπων εὖ[n] ζῆν, τοὺς δὲ κακῶς;[o] Ἔφη.[p] Ἆρ' οὖν δοκεῖ σοι ἄνθρωπος ἂν[q] εὖ ζῆν, εἰ ἀνιώμενός τε καὶ ὀδυνώμενος ζῴη; Οὐκ ἔφη. Τί δ', εἰ ἡδέως βιοὺς τὸν βίον τελευτήσειεν, οὐκ εὖ ἄν σοι δοκοῖ[r] οὕτω[s] βεβιωκέναι; Ἔμοιγ', ἔφη. Τὸ μὲν ἄρ'[t] ἡδέως ζῆν ἀγαθόν, τὸ δ' ἀηδῶς κακόν. Εἴ περ τοῖς καλοῖς γ', ἔφη, ζῴη ἡδόμενος. Τί δή, ὦ Πρωταγόρα; μὴ καὶ σύ, ὥς περ οἱ πολλοί, ἡδέ'[u] ἄττα καλεῖς κακὰ καὶ ἀνιαρὰ ἀγαθά; Ἐγὼ γὰρ λέγω.[v] Καθ' ὅ[w] ἡδέα ἐστίν, ἆρα κατὰ τοῦτο οὐκ ἀγαθά, μὴ εἴ[x] τι ἀπ'[y] αὐτῶν ἀποβήσεται ἄλλο; καὶ αὖθις αὖ τὰ ἀνιαρὰ ὡσαύτως[z] οὕτως οὐ καθ' ὅσον ἀνιαρά, κακά;[a] Οὐκ οἶδα, ὦ Σώκρατες, ἔφη, ἁπλῶς οὕτως[b] ὡς σὺ[c] ἐρωτᾷς, εἰ ἐμοὶ ἀποκριτέον ἐστίν, ὡς τὰ ἡδέα τε[d] ἀγαθά ἐστιν[e] ἅπαντα καὶ τὰ ἀνιαρὰ κακά· ἀλλά μοι[f] δοκεῖ οὐ μόνον πρὸς τὴν νῦν ἀπόκρισιν ἐμοὶ ἀσφαλέστερον εἶναι ἀποκρίνασθαι,[g] ἀλλὰ[h] καὶ πρὸς πάντα τὸν ἄλλον βίον τὸν ἐμόν, ὅτι ἔστι μὲν ἃ

—[l] τε Cry.—[m] εὐτροφία Θ.—[n] ἂν εὖ Γ.—[o] κακούς Ε.—[p] ἦ δ' ὃς rc ϒ.—[q] ἂν om Σ.—[r] δοκοῖ ΑΘΞBCry, δοκεῖ Σwε et corr Γ: δοκῇ *s.—[s] οὕτος Θγϒ et corr Γ.—[t] ἄρ' Γ.—[u] ἡδέ' ϒ: ἡδέα s.—[v] ἔγωγε. οἷον λέγεις s.—[w] ὃν ΑΘ, ὃ μηδ' ϒ: in Σ litura est.—[x] μὴ εἰ ΑΘΣBCrwyεϒ: εἰ μὴ *s.—[y] ἄρ' ἀπ' Γ.—[z] ante οὕτως non interpungunt rwyε.—[a] κακά om w.—[b] οὕτω Α.—[c] ἐμὲ r.—[d] τε καὶ Θ.—[e] ἐστιν ἀγαθὰ Ε.—[f] ἀλλ' ἅ μοι Α.—[g] ἀποκρίνεσθαι ΞErs.—[h] ἀλλ' ἃ Χ.—

§. 101. *οὐκ εὖ ἄν σοι δοκεῖ*] Edd. obvio errore, *δοκῇ*. Conf. Brunck. ad Aristoph. Plut. 380. Heind.

οἷον λέγεις· καθ' ὃ ἡδέα ἐστ.] Ita Ald. et Steph. quo teste ' legitur ita: *Ἐγὼ γὰρ λέγω καθ' ὃ*' [nempe] in Bas. 2. quacum congruit Ficini hæc versio: *Sic autem interrogo: utrum in quantum jucunda sunt, in tantum non bona* etc. In qua scriptura vereor ut aptum satis sit verbum λέγω ipsumque hoc *ἐγὼ*, quum potius expectarit aliquis, *ἐρωτῶ δὲ τοῦτο* —: neque offendit illud, opinor, quod qui statim rem concedit h. l. Protagoras subjecta deinde Socratis interrogatione admonitus dubitantius loquitur, *Οὐκ οἶδα, ὦ Σώκρ.* Itaque alteram tenui, e Cod. Ms. ductam haud dubie. Mirantis autem est formula *Οἷον λέγεις*, ut *οἷον* s. *οἷα ποιεῖς* Euthyphr. extr. Charmid. §. 30. In his vero, *καθ' ὃ ἡδέα ἐστὶν* etc. non nisi *ἡδέα ἄττα* illa, quæ mala se vocare concessit Protagoras, intelligi posse arbitror, non, ut fecit in versione Schleierm. *πάντα*, neque ex his alium nisi hunc existere sensum: *quatenus dulcia sunt* (illa), *an eatenus non bona* (sed mala) *dicis, nisi quid inde aliud consequatur?* Quo tamen sensu vix quisquam acquiescet. Fallor aut scripserat Plato: *καθ' ὃ ἡδέα τὰ ἡδέα ἐστὶν, ἆρα— quatenus jucunda sunt quæcunque sunt jucunda, an eatenus non* (tu dicis) *bona, nisi quid inde aliud* (commodi honestive) *sequatur? Ac rursus quæ molesta sunt, eodem modo non, quatenus molesta sunt, mala?* Quorum postrema quum Edd. sic distincta exhibeant, *καὶ αὖθις αὖ τὰ ἀνιαρὰ ὡσαύτως; Οὕτως. Οὐ, καθόσον ἀνιαρὰ, κακά*; Heusdius [p. 75.] expuncto *Οὕτως*, uno tenore jungi hæc voluit; nihil præter verborum distinctionem tollendam vidit Schleiermacherus. *ὡσαύτως οὕτως* ita quum alias legitur, tum Xenoph. Cyrop. i. 1. 4. *Κῦρος δὲ παραλαβὼν ὡσαύτως οὕτω καὶ τὰ ἐν τῇ Ἀσίᾳ ἔθνη* etc. viii. 5. 3. *Ὡσαύτως δὲ οὕτως ἔχει καὶ περὶ κατασκευῆς.* Atque ita Platonis hæc etiam Ficinus legit quum vertit: *rursusque utrum similiter tristia non ex eo, quod tristia, mala.* Heind.

τῶν ἡδέων οὐκ ἔστιν ἀγαθά, ἔστι δ' αὖ καὶ ἃ τῶν ἀνιαρῶν οὐκ ἔστι κακά, ἔστι δ' ἃ ἔστι,[i] καὶ τρίτον ἃ οὐδέτερα, οὔτε κακὰ οὔτ' ἀγαθά.[j] [§. 102.] Ἡδέα δὲ καλεῖς, ἦν δ' ἐγώ, οὐ τὰ ἡδονῆς μετέχοντα ἢ ποιοῦντα ἡδονήν; Πάνυ γ', ἔφη. Τοῦτο τοίνυν λέγω, καθ' ὅσον ἡδέα ἐστίν, εἰ οὐκ ἀγαθά, τὴν ἡδονὴν αὐτὴν ἐρωτῶν[k] εἰ οὐκ ἀγαθόν ἐστιν. Ὡς περ σὺ λέγεις, ἔφη, ἑκάστοτε,[l] ὦ Σώκρατες, σκοπώμεθα αὐτό, καὶ ἐὰν μὲν πρὸς λόγον δοκῇ εἶναι[m] τὸ σκέμμα καὶ τὸ αὐτὸ φαίνηται ἡδύ τε καὶ ἀγαθόν, συγχωρησόμεθα· εἰ δὲ μή, τότε ἤδη ἀμφισβητήσομεν. Πότερον οὖν, ἦν δ' ἐγώ, σὺ βούλει ἡγεμονεύειν τῆς σκέψεως, ἢ[n] ἐγὼ[o] ἡγῶμαι; Δίκαιος, ἔφη,[p] σὺ ἡγεῖσθαι· σὺ γὰρ καὶ κατάρχεις τοῦ[q] λόγου. [§. 103.] Ἆρ' οὖν, ἦν δ' ἐγώ, τῇδέ πῃ καταφανὲς ἂν ἡμῖν γένοιτο, ὡς περ εἴ τις ἄνθρωπον[r] σκοπῶν ἐκ τοῦ εἴδους ἢ πρὸς ὑγίειαν ἢ πρὸς ἄλλο τι τῶν τοῦ σώματος ἔργων, ἰδὼν τὸ πρόσωπον καὶ τὰς χεῖρας ἄκρας εἶπoι Ἴθι δή μοι ἀποκαλύψας καὶ τὰ στήθη καὶ τὸ μετάφρενον ἐπίδειξον, ἵν'[s] ἐπισκέψωμαι σαφέστερον· καὶ ἐγὼ τοιοῦτόν τι ποθῶ[t] πρὸς τὴν σκέψιν. θεασάμενος ὅτι οὕτως ἔχεις πρὸς τὸ ἀγαθὸν καὶ τὸ ἡδὺ ὡς φής, δέομαι τοιοῦτόν[u] τι[v] εἰπεῖν, Ἴθι δή μοι, ὦ Πρωταγόρα, καὶ τόδε τῆς διανοίας ἀποκά- i. 352.

[i] ἃ ἔτι corr Σ.—[j] οὔτ' ἀγαθὰ οὔτε κακὰ γ.—[k] ἐρωταν γ.—[l] ἑκάστοτε post Σώκρατες ponit Γ.—[m] εἶναι δοκῇ Γ.—[n] ἢ Ω.—[o] αὐτὸς γ.—[p] δίκαιως εἶ ἔφη ΣBCrwyε.—[q] τοῦ om γ.—[r] τις τὸν ἄνθρωπον Γ.—[s] ἵν' Γ.—[t] ποθῶν ω.—[u] τοιοῦτό ς.—[v] τι ante τοιοῦ-

ἔστι δ' ἃ ἐστι· καὶ τρίτον—ἃ ἐστι] Sc. τῶν ἡδέων ἀγαθὰ καὶ τῶν ἀνιαρῶν κακά. Edd. ἔστι δ' ἃ ἐστι καὶ τρίτον, sine sensu, quem primus interpunctione excitavit Schleierm. Heind.

§. 102. πρὸς λόγον] Vid. not. ad §. 83. extr. Rectius autem, opinor, ita dixisset Protagoras: σκοπώμεθα αὐτὸ, ἐὰν πρὸς λόγον δοκῇ εἶναι τὸ σκέμμα· καὶ ἐὰν μὲν τὸ αὐτὸ φαίνηται ἡδύ τε καὶ ἀγαθὸν, συγχωρ. Sed quæ est ista omnino sententia: *si nobis idem esse dulce et bonum appareat, consentiemus; sin minus, tum demum controversabimur.* Cedo mihi unum locum, ubi sic loquentem Socratem suum philosophus induxit. Consulto, opinor, Sophistam, dum Socratem vult imitari, hæc deblaterare fecit Plato. Heind.

σὺ γὰρ καὶ κατάρχεις τοῦ λόγου] *Tu enim sermonem* hunc de rebus jucundis *instituis* s. *inducis.* Heind.

§. 103. θεασάμενος ὅτι οὕτως ἔχεις πρὸς τὸ ἀγαθ.] *Quum viderim ita te sentire de bono* etc. Parmen. §. 12. Τί δέ; πρὸς τόδε πῶς ἔχεις; Τὸ ποῖον; Οἶμαί σε ἐκ τοῦ τοιοῦδε ἓν ἕκαστον εἶδος οἴεσθαι εἶναι etc. Xenoph. Mem. iv. 8. 7.—καὶ οἱ ἐμοὶ φίλοι οὕτως ἔχοντες γνώμης περὶ ἐμοῦ διατελοῦσιν, οὐ διὰ τὸ φιλεῖν ἐμέ· καὶ γὰρ οἱ τοὺς ἄλλους φιλοῦντες οὕτως ἂν εἶχον πρὸς τοὺς ἑαυτῶν φίλους· ἀλλὰ διόπερ καὶ αὐτοὶ ἂν οἴονται ἐμοὶ συνόντες βέλτιστοι γίγνεσθαι. Heind.

τοιοῦτόν τι] Ita pro τοιοῦτό τι dedi ex Ald. et Bass. Sic paullo ante τοιοῦτόν τι ποθῶ, mox περὶ ἐπιστ. τοιοῦτόν τι. Heind.

λυψον. πῶς ἔχεις πρὸς ἐπιστήμην;[w] πότερον καὶ τοῦτό σοι δοκεῖ ὥς περ τοῖς πολλοῖς ἀνθρώποις, ἢ ἄλλως; δοκεῖ δὲ τοῖς πολλοῖς περὶ ἐπιστήμης τοιοῦτόν τι, οὐκ ἰσχυρὸν οὐδ' ἡγεμονικὸν οὐδ' ἀρχικὸν εἶναι· οὐδὲ ὡς περὶ[x] τοιούτου[y] αὐ-
1. i. 230. τοῦ ὄντος διανοοῦνται, ἀλλ' ἐνούσης πολλάκις ἀνθρώπῳ ἐπιστήμης οὐ τὴν ἐπιστήμην αὐτοῦ[z] ἄρχειν, ἀλλ' ἄλλο τι, τοτὲ[a] μὲν θυμόν, τοτὲ δὲ[b] ἡδονήν, τοτὲ δὲ λύπην, ἐνίοτε δὲ ἔρωτα, πολλάκις δὲ φόβον, ἀτεχνῶς διανοούμενοι περὶ τῆς[c] ἐπιστήμης ὥς περ περὶ ἀνδραπόδου, περιελκομένης ὑπὸ τῶν ἄλλων ἁπάντων. ἆρ' οὖν καὶ σοὶ τοιοῦτόν τι περὶ αὐτῆς[d] δοκεῖ, ἢ καλόν τε εἶναι ἡ[e] ἐπιστήμη καὶ οἷον ἄρχειν τοῦ ἀνθρώπου, καὶ ἐάν περ γιγνώσκῃ τις τἀγαθὰ καὶ τὰ κακά, μὴ ἂν κρατηθῆναι ὑπὸ μηδενός,[f] ὥστε ἄλλ' ἄττα πράττειν ἢ ἃ[g] ἂν ἡ[h] ἐπιστήμη κελεύῃ,[i] ἀλλ' ἱκανὴν εἶναι τὴν φρόνησιν βοηθεῖν τῷ ἀνθρώπῳ; [§. 104.] Καὶ δοκεῖ, ἔφη, ὥς περ σὺ λέγεις, ὦ Σώκρατες, καὶ ἅμα εἴ πέρ τῳ ἄλλῳ, αἰσχρόν ἐστι καὶ ἐμοὶ σοφίαν καὶ ἐπιστήμην μὴ οὐχὶ πάντων κράτιστον φάναι εἶναι τῶν[j] ἀνθρωπείων[k] πραγμάτων.

τον collocat Γ.—[w] ἐπιστήμας Ε.—[x] ὡς περὶ ΑΘ et corr Σ, ὡς περί ϒ: ὥσπερ *s.—[y] τοῦ οὐ τοῦ αὐτοῦ ΑΘ et inclinato prioris τοῦ accentu ϒ.—[z] αὖ τοῦ Crwyε.—[a] τότε...τότε...τότε rwy.—[b] τόδε δὲ Β.—[c] τῆς om ϒ.—[d] αὐτων Ε.—[e] ἡ om Σ.—[f] ὑπ' οὐδενός Γ.—[g] ἢ ΞBCEyε et pr Γ, ἢ w.—[h] ἡ pro ἂν ponunt ΑΘ, om *s.—[i] κελεύοι BEs.—[j] τῶν...ὅτι om Γ.—[k] ἀνθρωπίνων w.—[l] σοι ϒ.—[m] ἀλλ' οἱ πλείους

ὡς περὶ τοιούτου διανοοῦνται] Ita, quod vulgo legitur οὐδὲ ὥσπερ τοιούτου a. o. δ. ex sermonis usu emendavit Bœckhius in Plat. Min. p. 120. recte monens, nusquam nec dici nec posse dici διανοεῖσθαι ὥσπερ τινὸς ὄντος, sed ὥς τινος ὄντος. Jam ita hæc inter se pendent: οὐδὲ περὶ αὐτοῦ ὡς ὄντος τοιούτου διανοοῦνται. Eodem vitio laborat adhuc locus in Xenoph. Cyrop. viii. 7. 6. ὑμᾶς δὲ χρὴ, ὅταν τελευτήσω, ὥσπερ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα, ubi jam in marg. Steph. apposuerat ὡς περί. Heind.

αὐτοῦ] Male Ald. et Bass. αὖ τοῦ. Heind.

καὶ οἷον ἄρχειν τοῦ ἄνθρ.] *Et ejusmodi aliquid quod imperet homini.* Heind.

ἢ ἃ ἂν] In præced. edit. scriptum est, ἢ ἄν: in qua lectione male ἢ pro ἤ, et ἂν pro ἃ ἂν scriptum est. Cujus erroris aliud exemplum afferam (ne lector de hoc loco dubitare possit) ex principio Hippiæ minoris: nimirum particulæ ἂν pro ἃ ἂν scriptæ. Ibi enim ita legitur in illis superioris temporis editionibus, Καὶ μὴν ὦ Εὔδικε ἔστι γ' ἂν πυθοίμην Ἱππίου ὧν νῦν δὴ ἔλεγε περὶ Ὁμήρου: quum Platonem scripsisse, ἔστι γ' ἃ ἂν πυθοίμην Ἱππίου, nemo negaturus sit, vel (ut in veteri) ἔστι γ' ἃ ἡδέως ἂν πυθοίμην. Steph.

Ed. Ald. et Bass. πράττειν ἢ ἂν ἐπιστ. quæ redintegravit Stephanus. In his vero quum ἂν non ad ἃ, sed ad κελεύοι pertineat, suus optativo est locus. Heind.

§. 104. αἰσχρόν ἐστι καὶ ἐμοὶ—μὴ οὐχὶ—φάναι] Post αἰσχρόν ἐστι interdum simplex μὴ, frequentius multo, ut h. l. μὴ οὐ cum infinitivo copulatum reperies. Theætet. §. 23. Ἀλλὰ μέντοι—σοῦ γε οὕτω παρακελευομένου, αἰσχρὸν μὴ οὐ παντὶ τρόπῳ προθυμεῖσθαι etc. Amator. extr. αἰσχρὸν ἐν τούτοις, ὦ ἑταῖρε, δεύτε-

Καλῶς γε, ἔφην ἐγώ, σὺ[l] λέγων καὶ ἀληθῆ. οἶσθα οὖν ὅτι οἱ πολλοὶ[m] τῶν ἀνθρώπων ἐμοί τε καὶ σοὶ οὐ πείθονται, ἀλλὰ[n] πολλούς φασι γιγνώσκοντας τὰ βέλτιστα οὐκ ἐθέλειν πράττειν ἐξὸν αὐτοῖς, ἀλλ' ἄλλα πράττειν. καὶ ὅσους δὴ ἐγὼ ἠρόμην ὅ τί ποτε αἴτιόν ἐστι τούτου, ὑφ'[o] ἡδονῆς φασὶν ἡττωμένους ἢ λύπης ἢ ὧν νῦν δὴ[p] ἐγὼ ἔλεγον, ὑπό τινος τούτων κρατουμένους ταῦτα ποιεῖν τοὺς ποιοῦντας. Πολλὰ γὰρ οἶμαι, ἔφη, ὦ Σώκρατες, καὶ ἄλλα οὐκ ὀρθῶς λέγουσιν οἱ ἄνθρωποι. Ἴθι δὴ μετ' ἐμοῦ ἐπιχείρησον πείθειν τοὺς ἀνθρώπους καὶ διδάσκειν ὃ ἔστιν αὐτοῖς τοῦτο τὸ πάθος, ὅ φασιν[q] ὑπὸ τῶν ἡδονῶν ἡττᾶσθαι καὶ οὐ πράττειν[r] διὰ ταῦτα τὰ βέλτιστα, ἐπεὶ γιγνώσκειν[s] γε[t] αὐτά. ἴσως γὰρ ἂν λεγόντων ἡμῶν ὅτι Οὐκ ὀρθῶς λέγετε, ὦ[u] ἄνθρωποι, ἀλλὰ ψεύδεσθε, ἔροιντ' ἂν[v] ἡμᾶς Ὦ Πρωταγόρα τε[w] καὶ Σώκρατες, εἰ μὴ ἔστι τοῦτο τὸ πάθημα ἡδονῆς ἡττᾶσθαι, ἀλλὰ[x] τί ποτ' ἐστί, καὶ τί ὑμεῖς αὐτὸ φατε εἶναι; εἴπατον ἡμῖν. Τί δέ, ὦ Σώκρατες, δεῖ ἡμᾶς σκοπεῖσθαι τὴν τῶν πολλῶν δόξαν ἀνθρώπων, οἳ ὅ τι ἂν τύχωσι, τοῦτο λέγουσιν; i. 231.

i. 353.

Γ, idque in mg.—[n] ἀλλ' Γ.—[o] ὑφ' Γ.—[p] δὴ νῦν w.—[q] ἐστιν r.—[r] καὶ οὐ πράττειν om Σ.—[s] ἐπιγινώσκειν ΑΓΒCErwyε.—[t] γε μὴν rc Γ.—[u] οἱ r.—[v] ἂν...σώκρατες om Σ, additis post γὰρ rc ἂν φαίεν.—[w] γε Γ.—[x] ἄλλο Θ.—[y] τι om ε.—[z] τοῦτο ἡμῖν r.

ρον φαίνεσθαι ἢ τρίτον καὶ μὴ οὐχ ἡγεῖσθαι. Xenoph. de rep. Laced. vi. 2. ἦν δέ τις παῖς ποτε πληγὰς λαβὼν ὑπ' ἄλλου κατείπῃ πρὸς τὸν πατέρα, αἰσχρόν ἐστι μὴ οὐκ ἄλλας πληγὰς ἐμβάλλειν τῷ υἱεῖ. Pluribus in re obvia non est opus, præsertim quum idem vocularum usus sit post αἰσχύνεσθαι (Xenoph. Cyrop. viii. 4. 5. Τὸν δὲ πρωτεύοντα ἐν ἕδρᾳ ᾐσχύνετο μὴ οὐ πλεῖστα καὶ ἀγαθὰ ἔχοντα παρ' αὐτοῦ φαίνεσθαι. Anab. ii. 3. 11. ὥστε πᾶσιν αἰσχύνην εἶναι μὴ οὐ συσπουδάζειν) post ἀπέχεσθαι, ἐμποδίζεσθαι, aliaque fere omnia, in quibus latet negatio. Velut in voce αἰσχρὸν latet οὐ καλόν, οὐκ ἀνεκτόν, post quæ, uti omnino post præmissam negationem, legitime infertur μὴ οὔ. Theætet. §. 95. Οὐδὲν μὲν οὖν ἀνεκτόν, ὦ Σώκρ. μὴ οὐ διασκέψασθαι, τί λέγουσιν ἑκάτεροι τῶν ἀνδρῶν. Heind.

καλῶς γε, ἔ. ἐ. σὺ λέγων] Ita hæc posita, quasi præcessisset, φημὶ ἔγωγε σοφίαν κράτιστον εἶναι τῶν ἀνθρωπείων πραγμάτων. Heind.

τοῦτο τὸ πάθ.] Intellige τὸ γιγνώσκοντας τὰ βέλτιστα οὐκ ἐθέλειν πράττειν, ἐξὸν αὐτοῖς, ἀλλ' ἄλλα πράττειν, ut paullo ante ipse explicuit Socrates. Heind.

πάθημα ἡδονῆς] For. εἰ μή ἐστι τοῦτο πάθημα, τὸ ἡδονῆς ἡττ. Est tamen illa lectio, non hæc, infr. p. 357. Steph.

Stephanum non intelligo quid sibi voluerit et h. l. et infra §. 115. conjectando, εἰ μὴ ἔστι τοῦτο πάθημα, τὸ ἡδονῆς ἡττᾶσθαι. Nam virum doctissimum vix deceptum puto Serrani versione hac: *nisi hoc sit malum atque detrimentum, voluptati succumbere.* Heind.

ἀλλὰ τί ποτ' ἐστὶ] Xenoph. Cyrop. viii. 7. 22. εἰ δὲ μὴ οὕτως, ἀλλὰ μένουσα ἡ ψυχὴ ἐν τῷ σώματι συναποθνήσκει· ἀλλὰ θεούς γε—φοβούμενοι μήτε ἀσεβὲς μηδὲν μηδὲ ἀνόσιον—ποιήσητε—. i. 3. 6. εἰ τοίνυν οὕτω γιγνώσκεις, ὦ παῖ, ἀλλὰ κρέα γε εὐωχοῦ cet. Sed notior hic vocis ἀλλὰ, *certe, saltem,* usus in apodosi, quam ut pluribus illustrari debeat. Heind.

ὅ,τι ἂν τύχωσι] Sc. λέγοντες, *quidquid forte accidit ut dicant.* Heind.

[§. 105.] Οἶμαι, ἦν δ' ἐγώ, εἶναί τι[y] ἡμῖν τοῦτο[z] πρὸς τὸ ἐξευρεῖν περὶ ἀνδρίας, πρὸς τἆλλα μόρια τὰ τῆς ἀρετῆς πῶς ποτ' ἔχει. εἰ οὖν σοι δοκεῖ ἐμμένειν οἷς ἄρτι ἔδοξεν ἡμῖν,[a] ἐμὲ ἡγήσασθαι, ἢ οἶμαι ἂν ἔγωγε κάλλιστα φανερὸν[b] γενέσθαι, ἔπου·[c] εἰ δὲ μὴ βούλει, εἴ σοι φίλον, ἐῶ χαίρειν. Ἀλλ', ἔφη, ὀρθῶς λέγεις· καὶ πέραινε ὥς περ ἤρξω.

Πάλιν τοίνυν, ἔφην ἐγώ, εἰ ἔροιντο ἡμᾶς, Τί[d] οὖν φατὲ τοῦτο εἶναι, ὃ ἡμεῖς ἥττω εἶναι τῶν ἡδονῶν ἐλέγομεν; εἴποιμ' ἂν ἔγωγε πρὸς αὐτοὺς ὧδί· Ἀκούετε δή· πειρασόμεθα γὰρ ὑμῖν ἐγώ τε καὶ Πρωταγόρας[e] φράσαι. ἄλλο τι γάρ, ὦ ἄνθρωποι, φατὲ ὑμῖν[f] τοῦτο γίγνεσθαι ἐν[g] τοῖσδε; οἷον[h] πολλάκις ὑπὸ σίτων[i] καὶ ποτῶν[j] καὶ ἀφροδισίων κρατούμενοι ἡδέων ὄντων, γιγνώσκοντες ὅτι πονηρά ἐστιν, ὅμως αὐτὰ πράττειν; Φαῖεν ἄν. [§. 106.] Οὐκοῦν ἐροίμεθ' ἂν αὐτοὺς ἐγώ τε καὶ σὺ πάλιν, Πονηρὰ δὲ αὐτὰ πῇ φατὲ εἶναι; πότερον ὅτι τὴν ἡδονὴν ταύτην[k] ἐν τῷ παραχρῆμα παρέχει καὶ ἡδύ ἐστιν ἕκαστον αὐτῶν, ἢ ὅτι εἰς τὸν ὕστερον χρόνον νόσους τε ποιεῖ καὶ πενίας καὶ ἄλλα τοιαῦτα πολλὰ[l] παρασκευάζει; ἢ κἂν εἴ τι τούτων εἰς[m] τὸ ὕστερον μηδὲν παρασκευάζει,[n] χαίρειν δὲ μόνον[o] ποιεῖ,[p] ὅμως δ' ἂν[q]

1. i. 232.

—[a] ὑμῖν Υ.—[b] φανερὰν w.—[c] εἶπου w.—[d] ἔτι ΑΘBCErwyεϛ et pr ΓΣ.—[e] πυθαγόρας Υ.—[f] ἡμῖν Υ.—[g] ἢ ἐν ϛc Σ.—[h] ἐν οἷον ϛc Γ.—[i] σιτῶν Ε.—[j] πότων Α.—[k] τῶν ἡδονῶν ταύτην Ε, ταύτην τὴν ἡδονὴν Γ.—[l] πολλὰ τοιαῦτα Σ.—[m] ἐς ϱ.—[n] παρασκευάζῃ ΓEyϛ.—[o] δ' ὅμως ϛ.—[p] ποιῇ Ey.—[q] ὅμως δ' ἂν κακὰ ἦν (ἢ Υ, εἴη corr Σ)

§. 105. εἶναί τι ἡμῖν τοῦτο πρὸς τὸ ἐξ.] Xenoph. de Laced. Rep. 2. 13. Ἔστι γάρ τι καὶ τοῦτο πρὸς παιδείαν. HEIND.

τοῦτο] Refertur ad prægressa illa ὃ ἡμεῖς ἥττω εἶναι τῶν ἡδονῶν ἐλέγομεν. In proximis, οἷον πολλάκις—κρατούμενοι—πράττειν, mente repetendum φατέ. HEIND.

§. 106. τὴν ἡδονὴν] Ita cum Bas. 2. Steph. In Ald. est τῶν ἡδονῶν. HEIND.

ἢ κἂν εἴ τι τούτων εἰς τὸ ὕστ.] Hic diu incertus fui, in textu relinquerem receptam illam a Steph. e Bas. 2. scripturam, ἢ κἂν εἴ τι τούτων εἰς τὸ ὕστερον μηδὲν παρασκευάζῃ, χαίρειν δ' ὅμως ποιεῖ; τὸ δ' ἁμαρτόντα χαίρειν τοῦ κακοῦ ποινὴ εἴη ἄν; an Aldinam hanc revocarem, ἢ κἂν εἴ τι τούτων εἰς τὸ ὕστερον μηδὲν παρασκευάζῃ, χαίρειν δὲ μόνον ποιῇ, ὅμως δ' ἂν κακὰ ᾖ ὅτι μαθόντα χαίρειν ποιεῖ. καὶ ὅπη οὖν, quam in libro suo etiam Ficinus reperit, ita hæc reddens: *an etiam, si nihil tale in posterum inferunt tantumque delectant, nihilominus mala sunt ex eo quod cognoscentem hominem delectant.* Quippe mendis utraque adeo apertis laborat, ut dubites, utra sit corruptior. Utram igitur alteri præferrem? In hac hæsitatione optimum neque alienum a critici religione duxi, interim donec opem his libri scripti afferant, propositam a Schleiermachero lectionem

κακὰ ἦν,[q] ὅ τι μαθόντα χαίρειν ποιεῖ καὶ ὁπῃοῦν; ἆρ' οἰόμεθα[r] ἂν αὐτούς, ὦ Πρωταγόρα, ἄλλο τι ἀποκρίνασθαι, ἢ ὅτι οὐ κατὰ τὴν αὐτῆς τῆς ἡδονῆς τῆς παραχρῆμα ἐργασίαν κακά ἐστιν, ἀλλὰ διὰ τὰ ὕστερον γιγνόμενα, νόσους τε καὶ τἆλλα. Ἐγὼ μὲν οἶμαι, ἔφη ὁ[s] Πρωταγόρας, τοὺς πολλοὺς ἂν ταῦτα ἀποκρίνασθαι. Οὐκοῦν νόσους ποιοῦντα ἀνίας ποιεῖ, καὶ[t] πενίας ποιοῦντα[u] ἀνίας ποιεῖ.[v] ὁμολογοῖεν[w] ἄν, ὡς ἐγῷμαι. Συνέφη ὁ Πρωταγόρας. [§. 107.] Οὐκοῦν φαίνεται, ὦ ἄνθρωποι, ὑμῖν, ὥς φαμεν[x] ἐγώ τε καὶ Πρωταγόρας, δι' οὐδὲν ἄλλο ταῦτα κακὰ ὄντα ἢ διότι εἰς ἀνίας τε ἀποτελευτᾷ[y] καὶ ἄλλων ἡδονῶν I. i. 233.
ἀποστερεῖ. ὁμολογοῖεν ἄν; Συνεδόκει ἡμῖν ἀμφοῖν. Οὐκοῦν I. 354.
πάλιν ἂν αὐτοὺς τὸ[z] ἐναντίον εἰ ἐροίμεθα, Ὦ ἄνθρωποι οἱ λέγοντες αὖ ἀγαθὰ ἀνιαρὰ εἶναι, ἆρ'[a] οὐ τὰ τοιάδε[b] λέγετε, οἷον τά τε γυμνάσια καὶ τὰς στρατείας[c] καὶ τὰς ὑπὸ τῶν ἰατρῶν θεραπείας[d] τὰς διὰ[e] καύσεών τε καὶ τομῶν καὶ φαρμακειῶν[f] καὶ λιμοκτονιῶν γιγνομένας, ὅτι ταῦτα ἀγαθὰ μέν[g] ἐστιν, ἀνιαρὰ δέ; φαῖεν ἄν;[h] Συνεδόκει. Πότερον οὖν κατὰ τόδε ἀγαθὰ αὐτὰ καλεῖτε, ὅτι ἐν τῷ παραχρῆμα

ὅτι (ὅτι δὴ rc Σ) μαθόντα χαίρειν ποιεῖ καὶ ὁπηοῦν] τὸ δ' ἁμαρτόντα χαίρειν τοῦ κακοῦ ποινὴ εἴη ἄν ς.—[r] οἰόμεθ' Arwyer.—[s] ὦ w.—[t] καὶ...ποιεῖ om Γ.—[u] alterum ποιοῦντα om r.—[v] ἀνίας ποιεῖ om Σwe.—[w] ὁμολογοῖμεν E.—[x] ἔφαμεν Γ.—[y] ὑποτελευτᾷ r.—[z] τὲ Cry.—[a] ἆρ' Γ, ἄρα Α.—[b] τοιαῦτα Θ.—[c] στρατιὰς Α.—[d] ἰατρῶν βοηθείας τε καὶ θεραπείας Γ.—[e] διὰ τῶν Eς.—[f] φαρμάκων Α.—[g] μέν om Γ.—[h] ἂν

substituere, exsculptam illam lenissima ratione ex utriusque scripturæ vestigiis atque ita commodam, ut omnes veri numeros explere videatur. Unum δὲ post ὅμως, quod ejecit ille, ex Ald. retinui. Illa ὅπη οὖν pertinent ad ἁμαρτόντα. Heind.

ἡδονὴ ἡ παραχρῆμα] Ut ἡ παραυτίκα ἡδονὴ Xenoph. Cyrop. i. 5. 9. ii. 2. 24. viii. 1. 32. ἡ ἐκ τοῦ παραχρῆμα ἡδονὴ id. Mem. S. ii. 1. 20. non est, ut vulgo expl. *quæ statim et sine labore paratur*, sed *cujus in præsens est fructus citoque perit*. Ita τῆς παραχρῆμα ἕνεκα χάριτος δημηγορεῖν Demosth. Proœm. p. 1449. Ibid. p. 1425. μᾶλλον ὅπως τὰ δόξαντα συνοίσει σκοπεῖν ἢ ὅπως οἱ παραχρῆμα λόγοι χάριν ἕξουσιν. Heind.

τῆς ἡδονῆς ἐργασίαν] Dictum ut ἡ τῆς ἐσθῆτος ἐκ τῶν ἐρίων ἐργασία Xenoph. Œcon. 7. 21. Quo significatu frequentius usurpatur ἀπεργασία. Conf. §. 9. Euthyphr. p. 13. D. E. Gorg. §. 41. Heind.

§. 107. οὐκοῦν φαίνεται—ὑμῖν—ὥς φαμεν ἐγώ τε καὶ Πρωταγ.] Ad postrema supplendum φαίνεσθαι ὑμῖν.—ὦ ἄνθρωποι οἱ λέγοντες, *vos qui dicitis*. Omisso articulo, quem memini qui expungi vellet imperite, legeremus potius, ὦ ἄνθρ. ὑμεῖς λέγοντες.—καὶ λιμοκτονιῶν. Medicorum vocabulum λιμοκτονία vel *perfectam abstinentiam* vel *eum* significat *victum, qui per complures dies solo potu mulsaque et ptisanæ cremore continetur*. V. Foesius in Œcon. Hippocr. p. 386. Heind.

ὀδύνας τὰς ἐσχάτας παρέχει καὶ ἀλγηδόνας, ἢ ὅτι εἰς τὸν ὕστερον χρόνον ὑγίειαί τε ἀπ' αὐτῶν γίγνονται καὶ εὐεξίαι τῶν σωμάτων καὶ τῶν πόλεων σωτηρίαι[i] καὶ ἄλλων ἀρχαὶ καὶ πλοῦτοι; φαῖεν ἄν, ὡς ἐγῷμαι. Συνεδόκει. [§. 108.] Ταῦτα δὲ ἀγαθά ἐστι δι' ἄλλο τι ἢ ὅτι εἰς ἡδονὰς ἀποτελευτᾷ καὶ λυπῶν ἀπαλλαγάς τε καὶ ἀποτροπάς; ἢ ἔχετέ τι ἄλλο τέλος λέγειν, εἰς ὃ ἀποβλέψαντες αὐτὰ ἀγαθὰ καλεῖτε, ἀλλ'[j] ἢ[k] ἡδονάς τε καὶ λύπας; οὐκ ἂν φαῖεν, ὡς ἐγῷμαι. Οὐδ' ἐμοὶ δοκεῖ,[l] ἔφη ὁ Πρωταγόρας. Οὐκοῦν τὴν μὲν ἡδονὴν διώκετε ὡς ἀγαθὸν ὄν, τὴν δὲ λύπην φεύγετε ὡς κακόν; Συνεδόκει. Τοῦτ' ἄρα ἡγεῖσθ' εἶναι κακόν, τὴν λύπην, καὶ ἀγαθὸν τὴν ἡδονήν, ἐπεὶ καὶ αὐτὸ τὸ χαί-
I. i. 234. ρειν τότε λέγετε[m] κακὸν εἶναι, ὅταν μειζόνων ἡδονῶν[n] ἀπο-

om Γ.—[l] σωτηρία BErs.—[j] ἀλλ' οὐχ corr Σ.—[k] ἢ add Stephanus.—[l] δοκεῖ om Σwer.—[m] λέγετε ΓΞBCrye, λέγεται ιω : λέγεται *s.—[n] ἀγαθῶν E, om s.—[o] κα-

ὑγιεῖαί τε] Cum Ald. et Bass. Steph. ὑγεῖαι, quod Atticorum usus repudiavit. V. Porson. ad Eurip. Orest. 229. Heind.

καὶ ἄλλων ἀρχαὶ] Ficin. *patriæ salus, potentiæ, divitiæque*, non reddito verbo ἄλλων, quod ferat qui potest; mihi hoc ita jejunum videtur, ut vix Platonis putem. Nam ἀρχαὶ quum ubique alias, tum h. l. ubi *civitatum* mentio præcessit et πλοῦτοι adjunguntur, quid aliud quam *magistratus imperiaque* significat? Quis autem usquam legit *in alios imperia, in alios magistratus*? Minus sane offenderet καὶ ἀνθρώπων ἀρχαὶ, ut scripsit Xenoph. Mem. i. 1. 16. τί ἀρχὴ ἀνθρώπων, τί ἀρχικὸς ἀνθρώπων; neque tamen gemina illorum est ratio. Ejusdem plane generis exempla proferri velim, quæ donec proferantur, scrupuli mihi hic aliquid hærebit. An forte καὶ ἄλλαι ἀρχαί? Conjecturæ quum alia, quæ non sunt ad manum, tum Euripidis illud favere videatur Med. 298. Χωρὶς γὰρ ἄλλης, ἧς ἔχουσιν ἀργίας, Φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ. Heind.

§. 108. ἀλλ' ἢ ἡδονάς τε καὶ λυπὰς] Edd. ἀλλ' ἡδονάς τ. κ. λ. cui dubitanter justo interdum modestior Stephanus adscripsit ἀλλ' ἤ. §. 51. Τὰ τοῦ χρυσοῦ μόρια οὐδὲν διαφέρει—ἀλλήλων καὶ τοῦ ὅλου ἀλλ' ἢ μεγέθει καὶ σμικρότητι. §. 111. καὶ τίς ἄλλη ἀναξία ἡδονὴ πρὸς λύπην ἐστὶν ἀλλ' ἢ ὑπερβολὴ ἀλλήλων καὶ ἔλλειψις; de rep. viii. p. 553. D. τὸ μὲν οὐδὲν ἄλλο ἐᾷ λογίζεσθαι οὐδὲ σκοπεῖν ἀλλ' ἢ ὁπόθεν ἐξ ἐλαττόνων χρημάτων πλείω ἔσται. Phædon. §. 34. μηδαμοῦ ἄλλοθι καθαρῶς ἐντεύξεσθαι φρονήσει ἀλλ' ἢ ἐκεῖ. Xenoph. Anab. vii. 7. 53. Ἀργύριον μὲν οὐκ ἔχω ἀλλ' ἢ μικρόν τι. Œcon. ii. 13. οὔτε ἄλλος πώποτέ μοι παρέσχε τὰ ἑαυτοῦ διοικεῖν ἀλλ' ἢ σὺ νυνὶ ἐθέλεις παρέχειν. Cui simile illud Aristoph. Pac. 475. Οὐδ' οἵδε γ' εἶλκον οὐδὲν Ἀργεῖοι πάλαι Ἀλλ' ἢ κατεγέλων τῶν ταλαιπωρουμένων. Conf. Bergler. ad Aristoph. Eqq. 777. Heind.

συνεδόκει] Post illa §. 106. 107. ὡμολογοῖεν ἄν, ὡς ἐγῷμαι. Συνέφη ὁ Πρωταγόρας· deinde ὁμολογοῖεν ἄν. Συνεδόκει ἡμῖν ἀμφοῖν· mox φαῖεν ἄν. Συνεδόκει· atque paullo post φαῖεν ἄν, ὡς ἐγῷμαι. Συνεδόκει· hic quoque plenum requirens sermonem Cornarius verba φαῖεν ἄν ante Συνεδόκει inseri voluit. Supplendum hoc potius ego putarem, nisi Ficini accederet versio: S. *Annon voluptatem ut bonum sequimini, dolorem ut malum fugitis? Concederent.* Pr. *Profecto.* Vix tamen sine libris scriptis res poterit disceptari. Heind.

λέγετε] Edd. λέγεται, vitio manifesto, quod jam Steph. indicavit. In proximis post μειζόνων operarum errore in una Stephani Ed. omissum ἡδονῶν, quod ex conjectura reponi voluit Heusdius

στερῇ ἢ ὅσας αὐτὸ ἔχει, ἢ λύπας μείζους παρασκευάζῃ τῶν ἐν αὐτῷ ἡδονῶν· ἐπεὶ εἰ κατ' ἄλλο τι αὐτὸ τὸ χαίρειν κακὸν καλεῖτε[o] καὶ εἰς ἄλλο τι τέλος ἀποβλέψαντες, ἔχοιτε ἂν καὶ ἡμῖν εἰπεῖν. ἀλλ' οὐχ ἕξετε. Οὐδ' ἐμοὶ[p] δοκοῦσιν, ἔφη ὁ Πρωταγόρας. [§. 109.] Ἄλλο τι οὖν πάλιν καὶ περὶ αὐτοῦ τοῦ λυπεῖσθαι ὁ αὐτὸς τρόπος; τότε καλεῖτε αὐτὸ τὸ λυπεῖσθαι ἀγαθόν, ὅταν ἢ μείζους λύπας τῶν ἐν αὐτῷ οὐσῶν ἀπαλλάττῃ ἢ μείζους ἡδονὰς τῶν λυπῶν παρασκευάζῃ; ἐπεὶ εἰ πρὸς ἄλλο τι τέλος ἀποβλέπετε, ὅταν καλῆτε αὐτὸ τὸ λυπεῖσθαι ἀγαθόν, ἢ πρὸς ὃ ἐγὼ λέγω, ἔχετε[q] ἡμῖν εἰπεῖν. ἀλλ' οὐχ ἕξετε. Ἀληθῆ, ἔφη, λέγεις,[r] ὦ[s] Πρωταγόρας. Πάλιν τοίνυν, ἔφην ἐγώ, εἴ με ἀνέροισθε, ὦ ἄνθρωποι,[t] Τίνος οὖν δή ποτε ἕνεκα πολλὰ περὶ τούτου λέγεις καὶ πολλαχῇ; συγγιγνώσκετέ μοι, φαίην ἂν ἔγωγε. πρῶτον μὲν γὰρ οὐ ῥᾴδιον ἀποδεῖξαι τί ἔστι ποτὲ τοῦτο ὃ ὑμεῖς καλεῖτε τῶν ἡδονῶν ἥττω εἶναι· ἔπειτα ἐν τούτῳ εἰσὶ πᾶσαι αἱ ἀποδείξεις. ἀλλ' ἔτι καὶ νῦν ἀναθέσθαι ἔξεστιν, εἴ πῃ ἔχετε ἄλλο τι φάναι εἶναι τὸ ἀγαθὸν ἢ τὴν ἡδονήν, ἢ τὸ κακὸν ἄλλο[u] τι ἢ τὴν ἀνίαν, ἢ i. 355.
ἀρκεῖ ὑμῖν τὸ ἡδέως καταβιῶναι τὸν βίον ἄνευ λυπῶν;[v] εἰ δὲ ἀρκεῖ καὶ μὴ ἔχετε μηδὲν ἄλλο φάναι[w] εἶναι ἀγαθὸν ἢ i. i. 235.
κακόν, ὃ μὴ εἰς ταῦτα τελευτᾷ, τὸ μετὰ τοῦτο ἀκούετε. [§. 110.] Φημὶ γὰρ ὑμῖν τούτου[x] οὕτως ἔχοντος[y] γελοῖον τὸν λόγον γίγνεσθαι, ὅταν λέγητε[z] ὅτι πολλάκις γιγνώσκων τὰ κακὰ ὁ[a] ἄνθρωπος ὅτι κακά ἐστιν, ὅμως πράττει αὐτά,[b] ἐξὸν μὴ πράττειν, ὑπὸ τῶν ἡδονῶν ἀγόμενος καὶ ἐκπληττόμενος· καὶ αὖθις αὖ λέγητε[c] ὅτι γιγνώσκων ὁ ἄνθρωπος τἀγαθὰ πράττειν οὐκ ἐθέλει διὰ τὰς παραχρῆμα ἡδονάς, ὑπὸ τούτων ἡττώμενος. ὡς δὲ ταῦτα γελοῖά ἐστι, κατάδη-

λὸν καλεῖτε ῦ, καλεῖτε κακὸν ε.—[p] οὐδ' ἐμοὶ ΓΞΣῦ : οὐδέ μοι *Σ.—[q] ἔχοιτ' ἂν corr Σ.—[r] λέγεις ἔφη ε.—[s] ὦ ω.—[t] ἄνθρωπε corr Γ.—[u] ἢ ἄλλο ΑΘΒΕrwyε, εἰ ἄλλο corr Σ.—[v] ἄνευ τῶν λυπῶν ῦ.—[w] φαίνεται BCErwyε.—[x] τοῦτο Γ.—[y] ἔχον Γ.—[z] λέγηται ω.—[a] ὁ libris deest.—[b] αὐτὸ Θ.—[c] λέγητε Heindorfius : libri λέγετε.—

[p. 75.], exhibent Ald. et Bass.—οὐδ' ἐμοὶ δοκοῦσι. Male Edd. Οὐδέ μοι δοκ. Heind.

§. 110. καὶ αὖθις αὖ λέγετε] Non dubito quin in his, quæ pendent a prægresso ὅταν, scribi debeat λέγητε. Erunt tamen qui ἀνακόλουθον hoc tueantur. Heind.

λον[d] ἔσται, ἐὰν μὴ πολλοῖς ὀνόμασι χρώμεθα ἄρα,[e] ἡδεῖ τε καὶ ἀνιαρῷ καὶ ἀγαθῷ καὶ κακῷ, ἀλλ' ἐπειδὴ δύο ἐφάνη ταῦτα, δυοῖν καὶ[f] ὀνόμασι προσαγορεύωμεν[g] αὐτά, πρῶτον μὲν ἀγαθῷ καὶ κακῷ, ἔπειτ'[h] αὖθις ἡδεῖ τε καὶ ἀνιαρῷ. θέμενοι δὴ[i] οὕτω, λέγωμεν[j] ὅτι γιγνώσκων ὁ ἄνθρωπος τὰ κακὰ ὅτι κακά ἐστιν, ὅμως αὐτὰ ποιεῖ. ἐὰν οὖν τις ἡμᾶς ἔρηται[k] διὰ τί, ἡττώμενος φήσομεν. Ὑπὸ τοῦ;[l] ἐκεῖνος ἐρήσεται[m] ἡμᾶς· ἡμῖν δὲ ὑπὸ μὲν ἡδονῆς οὐκέτι ἔξεστιν εἰπεῖν· ἄλλο γὰρ ὄνομα μετείληφεν ἀντὶ τῆς ἡδονῆς τὸ ἀγαθόν. ἐκείνῳ[n] δὴ ἀποκρινώμεθα[o] καὶ λέγωμεν[p] ὅτι ἡττώμενος— Ὑπὸ τίνος; φήσει.[q] τοῦ ἀγαθοῦ, φήσομεν νὴ Δία. [§. 111.] ἂν οὖν τύχῃ ὁ ἐρόμενος ἡμᾶς ὑβριστὴς ὤν, γελάσεται καὶ ἐρεῖ Ἦ γελοῖον λέγετε
1. i. 236. πρᾶγμα, εἰ πράττει τις κακά, γιγνώσκων ὅτι κακά ἐστιν, οὐ δέον αὐτὰ[r] πράττειν, ἡττώμενος ὑπὸ τῶν ἀγαθῶν. ἆρα, φήσει, οὐκ ἀξίων ὄντων νικᾶν[s] ἐν ὑμῖν[t] τῶν ἀγαθῶν τὰ κακά, ἢ ἀξίων; φήσομεν δῆλον ὅτι ἀποκρινόμενοι, ὅτι οὐκ ἀξίων ὄντων· οὐ γὰρ ἂν ἐξημάρτανεν ὃν φαμεν ἥττω εἶναι τῶν ἡδονῶν. Κατὰ τί δέ, φήσει ἴσως, ἀνάξιά ἐστι τἀγαθὰ τῶν κακῶν ἢ τὰ κακὰ τῶν ἀγαθῶν; ἢ κατ' ἄλλο τι ἢ ὅταν

[d] ἔσται κατάδηλον Γ.—[e] ἅμα corr Γ.—[f] καὶ om r.—[g] προσαγορεύομεν ΑΘΣBCErw yε.—[h] ἔπειτ' Γ.—[i] δὲ Σε.—[j] λέγομεν ΑΘεr.—[k] ἐρῆται Α.—[l] τούτου Α.—[m] ἔρηται rγεr.—[n] ἐκεῖνο Σwr.—[o] δὴ ἀποκρινόμεθα E, διακρινώμεθα Θ.—[p] λέγομεν ΑBCE.—[q] φήσει rc Σ cum s: ceteri φησι.—[r] αὐτὸν ΑΓΘBCErwγεr.—[s] νικᾶν...ὄντων om Γ.

ἐὰν μὴ πολλοῖς ὀνόμασι χρώμεθα ἄρα] Sic positæ voculæ ἄρα ad Gorg. §. 158. exempla adscripsi, unde emendatio petenda erat Cratylo §. 99. εἰ μὴ ἄρα δὴ— καὶ ἡμεῖς οὕτως εἰπόντες ἀπαλλαγῶμεν (scr. ἀπαλλαγείμεν), ὅτι τὰ πρῶτα ὀνόματα οἱ θεοὶ ἔθεσαν καὶ διὰ ταῦτα ὀρθῶς ἔχει· ἄρα καὶ ἡμῖν κράτιστος οὗτος τῶν λόγων ἢ ἐκεῖνος (l. εἴη ἢ ἐκεῖνος), ubi edidi—ἔχει· ἆρα καὶ ἡμ. edere debebam καὶ διὰ ταῦτα ὀρθῶς ἔχει ἄρα, καὶ ἡμ. Ceterum ut extremo loco, sic et in media propositione collocatum hoc ἄρα Sympos. p. 177. E. Ταῦτα δὴ καὶ οἱ ἄλλοι πάντες ἄρα ξυνέφασάν τε καὶ ἐκέλευον, non erat cur in ἅμα mutaret Wyttenbach. Bibl. Crit. P. i. p. 40. Platon. de legg. x. p. 906. B. Ψυχαὶ δή τινες ἐπὶ γῆς οἰκοῦσαι καὶ ἄδικον λῆμμα (scr. λῆμα) κεκτημέναι δηλονότι θηριώδεις πρὸς τῶν φυλάκων ψυχὰς ἄρα κυνῶν ἢ τὰς τῶν νομέων etc. Xenoph. Cyrop. viii. 2. 14. τόν τε γὰρ νομέα χρῆναι ἄρα ἔφη εὐδαίμονα τὰ κτήνη ποιοῦντα χρῆσθαι αὐτοῖς etc. Heind.

δύο] *Nonnisi duo*, non quatuor. Pro προσαγορεύωμεν, quod reposuit Steph. Ald. et Bass. προσαγορεύομεν.—ἐκείνῳ δὴ ἀποκρινώμεθα καὶ λέγ.] Molesta mihi præcedentium repetitio. Vellem sic statim scripsisset: ἐκείνῳ δὴ ἀποκρινώμεθα καὶ λέγωμεν, ὑπὸ τοῦ ἀγαθοῦ. Ἂν οὖν τύχῃ cet. Heind.

§. 111. ἀνάξιά ἐστι τἀγαθὰ τῶν κακῶν] ἀνάξια τἀγαθὰ sunt τῶν κακῶν, quatenus pretio quasi non sunt malis æquiparanda, h. l. quando non sunt eligenda præ malis. Heind.

τὰ μὲν μείζω, τὰ δὲ σμικρότερα ᾖ;[u] ἢ πλείω, τὰ δὲ ἐλάττω ᾖ; οὐχ ἕξομεν εἰπεῖν ἄλλο ἢ τοῦτο. Δῆλον ἄρα, φήσει, ὅτι τὸ ἡττᾶσθαι τοῦτο λέγετε,[v] ἀντὶ ἐλαττόνων ἀγαθῶν μείζω κακὰ λαμβάνειν. ταῦτα μὲν οὖν[w] οὕτως. μεταλάβωμεν[x] δὴ[y] τὰ ὀνόματα πάλιν τὸ ἡδύ τε καὶ ἀνιαρὸν ἐπὶ τοῖς αὐτοῖς τούτοις, καὶ λέγωμεν[z] ὅτι ἄνθρωπος πράττει, τότε μὲν ἐλέγομεν[a] τὰ κακά, νῦν δὲ λέγωμεν[b] τὰ ἀνιαρά, γιγνώσκων ὅτι ἀνιαρά ἐστιν, ἡττώμενος ὑπὸ τῶν ἡδέων, δῆλον ὅτι ἀναξίων ὄντων νικᾶν. καὶ τίς ἄλλη I. 356.
ἀξία[c] ἡδονῆ[d] πρὸς λύπην ἐστίν, ἀλλ' ἢ[e] ὑπερβολὴ ἀλλή-

—[t] ἡμῖν Σ.—[u] ᾖ rwyε: ἢ *s.—[v] λέγετε corr Γ: λέγεται *s.—[w] οὖν om Γt.—[x] μεταβάλάβωμεν w.—[y] δὲ t.—[z] λέγομεν w.—[a] λέγομεν ΑΘ et pr Γ.—[b] λέγομεν ΑΓΘ.—[c] ἀξία Schleiermacherus: libri ἀναξία.—[d] ἡδονὴ libri plerique.—[e] ἢ ἡ rc Γ.

ἢ ὅταν τὰ μὲν μείζω, τὰ δὲ σμικρότερα ᾖ] Quippe quando majora sunt τὰ κακὰ, minora τὰ ἀγαθὰ, tum τἀγαθὰ sunt ἀνάξια τῶν κακῶν. HEIND.

ἢ πλείω] For. ἢ τὰ μὲν, πλείω. STEPH. Facile assentior Stephano, si legeretur ἢ τὰ μὲν, πλείω, τὰ δὲ, ἐλάττω, magis hoc esse e consuetudine vulgari. Nec tamen hinc effici concedam, ad hanc consuetudinem immutandum esse locum. Non raro apud Platonem hanc dicendi rationem deprehendas, qua μὲν ante δὲ omittitur. Phileb. p. 56. D. Πῇ ποτε διωρισάμενος οὖν ἄλλην, τὴν δὲ ἄλλην θείη τὶς ἂν ἀριθμητικήν; Gorg. p. 455. D. Οἶσθα γὰρ δήπου ὅτι τὰ νεώρια ταῦτα καὶ τὰ τείχη τῶν Ἀθηναίων, καὶ ἡ τῶν λιμένων κατασκευὴ, ἐκ τῆς Θεμιστοκλέους συμβουλῆς γέγονε, τὰ δ' ἐκ τῆς Περικλέους. Cratyl. 385. B. Οὐκοῦν εἴη ἂν λόγος ἀληθὴς, ὁ δὲ, ψευδής; Politic. p. 298. D. Τὰ δὲ τῷ πλήθει δόξαντα περὶ τούτων, εἴτε τινῶν ἰατρῶν καὶ κυβερνητῶν—γράψαντας ἐν κύρβεσι τισὶ καὶ στήλαις, τὰ δὲ καὶ ἄγραφα θεμένους ἔθη. Legg. i. p. 648. B. Ἐλέγχων ἐν τοῖς παθήμασιν, ὥστε ἀναγκάζειν ἄφοβον γίγνεσθαι, παρακελευόμενος καὶ νουθετῶν καὶ τιμῶν, τὸν δὲ ἀτιμάζων, ὅστις σοι μὴ πείθοιτο κ. λ. Sympos. p. 207. D. Οὗτος μέντοι οὐδέποτε τὰ αὐτὰ ἔχων ἐν ἑαυτῷ, ὅμως ὁ αὐτὸς καλεῖται, ἀλλὰ νεὸς ἀεὶ γιγνόμενος. τὰ δὲ ἀπολλὺς καὶ κατὰ τὰς τρίχας καὶ κ. λ. Tim. p. 69. E. Διορίζοντες οἷον γυναικῶν, τὴν δὲ ἀνδρῶν χωρὶς οἴκησιν. Phileb. p. 35. E. Καὶ εἴτις τούτων ἐν ἑκατέρῳ γιγνόμενος ἡμῶν ἀλγεῖ, τότε δὲ χαίρει κατὰ τὰς μεταβολάς. Sic item Numenius apud Euseb. P. E. p. 727. C. Ἐπεὶ εἰς γε τὰ ἄλλα πολλαχῇ παραλύοντες, τὰ δὲ στρεβλοῦντες, οὐκ ἐνέμειναν τῇ πρώτῃ διαδοχῇ· ubi frustra Editor ante παραλύοντες inserit τὰ μέν. Dio Chrysost. Orat. xxviii. p. 288. D. Καὶ ἑτέρους ἀεὶ προσάγοντας, τοὺς δὲ καὶ ἀπιόντας διὰ τὸ μὴ δύνασθαι ἰδεῖν. Nec dubitandum, quin ad hanc item rationem revocandus sit locus Platonis Legg. i. 629. D. Φέρε δὴ, ποτέρους καὶ πρὸς πότερον ἐπαινῶν τὸν πόλεμον, οὕτως τοὺς μὲν ὑπερεπῄνεσας, τοὺς δ' ἔψεξας τῶν ἀνδρῶν; ut expungatur τοὺς μὲν. Exquisitam dictionem facile præ inscitia corrumpere potuerint librarii. At integram eam servavit Cod. Leidensis, in quo τοὺς μὲν non apparet. HEUSD.

ἢ πλείω, τὰ δὲ ἐλάττω] H. e. ἢ τὰ μὲν πλείω, τὰ δὲ ἐλ. Loquendi rationem, in qua h. l. ut fere alibi offendit Steph. illustravi ad Theætet. §. 96. non cognita tum præclara ad h. l. Heusdii animadversione. Illud miror eundem fugisse virum acutum, vitiose hæc ita legi in Edd. ἢ πλείω, τὰ δὲ ἐλάττω; ἢ οὐχ ἕξ. De vitio monuit Schleiermacherus. HEIND.

καὶ τίς ἄλλη ἀναξία ἡδονὴ πρὸς λύπ.] Manifesto depravatus locus, cui lucem affert Ciceronis hæc versio apud Priscian. vi. p. 693. Putsch. *Quæ igitur potest esse indignitas voluptatis ad molestiam nisi in magnitudine aut longitudine alteriusutrius posita?* Unde legendum Καὶ τίς ἀναξία ἡδονῇ πρ. λ. quanquam vix alibi extet vocabulum ἀναξία, *indignitas*. Adstipulatur Ficinus: *quæ vero alia*

λων καὶ ἔλλειψις; ταῦτα δ' ἐστὶ μείζω τε καὶ σμικρότερα γιγνόμενα ἀλλήλων[f] καὶ πλείω καὶ ἐλάττω καὶ μᾶλλον καὶ ἧττον. [§. 112.] Εἰ γάρ τις λέγοι[g] ὅτι Ἀλλὰ πολὺ διαφέρει, ὦ Σώκρατες, τὸ παραχρῆμα ἡδὺ τοῦ εἰς
1. i. 237. τὸν ὕστερον χρόνον καὶ ἡδέος καὶ λυπηροῦ, μῶν ἄλλῳ τῳ, φαίην ἂν[h] ἔγωγε, ἢ ἡδονῇ καὶ λύπῃ;[i] οὐ γὰρ ἔσθ' ὅτῳ ἄλλῳ. ἀλλ' ὥς περ ἀγαθὸς ἱστάναι ἄνθρωπος, συνθεὶς τὰ ἡδέα καὶ συνθεὶς τὰ[j] λυπηρά, καὶ τὸ ἐγγὺς καὶ τὸ πόρρῳ στήσας ἐν τῷ ζυγῷ, εἰπὲ[k] πότερα πλείω ἐστίν. ἐὰν μὲν γὰρ ἡδέα πρὸς ἡδέα ἱστῇς, τὰ μείζω ἀεὶ καὶ πλείω λῃπτέα· ἐὰν δὲ λυπηρὰ πρὸς λυπηρά, τὰ[l] ἐλάττω καὶ σμικρότερα. ἐὰν δὲ ἡδέα πρὸς λυπηρά, ἐὰν μὲν τὰ ἀνιαρὰ ὑπερβάλληται ὑπὸ τῶν ἡδέων, ἐάν τε[m] τὰ ἐγγὺς ὑπὸ τῶν πόρρῳ ἐάν τε τὰ πόρρῳ ὑπὸ τῶν ἐγγύς, ταύτην τὴν πρᾶξιν πρακτέον ἐν ᾗ ἂν ταῦτ' ἐνῇ· ἐὰν δὲ τὰ ἡδέα ὑπὸ τῶν ἀνιαρῶν, οὐ[n] πρακτέα. μή πῃ ἄλλῃ ἔχει, φαίην ἄν,[o] ταῦτα, ὦ ἄνθρωποι; [§. 113.] Οἶδ'[p] ὅτι οὐκ ἂν ἔχοιεν[q] ἄλλως λέγειν. Συνεδόκει καὶ ἐκείνῳ. Ὅτε[r] δὴ τοῦτο οὕτως ἔχει, τόδε μοι ἀποκρίνασθε,[s] φήσω. Φαίνεται ὑμῖν τῇ ὄψει τὰ αὐτὰ μεγέθη ἐγγύθεν μὲν μείζω, πόρρωθεν δὲ ἐλάττω.[t] ἢ οὔ; Φήσουσιν. Καὶ τὰ παχέα καὶ τὰ πολλὰ ὡσαύτως; καὶ αἱ[u] φωναὶ αἱ ἴσαι ἐγγύθεν μὲν μείζους, πόρρωθεν δὲ σμικρότεραι;[v] Φαῖεν ἄν.

—[f] ἀλλήλων γιγνόμενα ϒ.—[g] λέγει *w*.—[h] ἂν om ϒ.—[i] ἡδονὴν καὶ λύπην ϒ.—[j] τὰ ἡδέα καὶ συνθεὶς τὰ om Θ.—[k] εἰπὲ corr Γ, εἶπε Σ: εἶπε *ς.—[l] τὰ...λυπηρὰ om Θ.—[m] ἡδέων ἐὰν δὲ ϒ.—[n] οὐ om ΑΓΘϒ.—[o] ἄν add ΑΓΘ.—[p] οὐδ' ΑΘ.—[q] ἔχειν ϒ.—[r] ὅτι ϱ.—[s] ἀποκρίνασθαι ϒ.—[t] ἐλάττω...δὲ om *w*.—[u] alterum αἱ add Heindorfius.—

inest ad dolorem indignitas voluptati, quam excessus inter se atque defectus? Heind.

ταῦτα δ' ἐστὶ, μείζω τε etc.] Hæc ita quoque adjungi poterant, τοῦτο δ' ἐστὶ τὸ μείζω τε καὶ σμικρότερα γίγνεσθαι ἀλλήλων etc. Sic certe intelligenda. Heind.

§. 112. ἀλλὰ πολὺ διαφέρει—τὸ παραχρῆμα ἡδὺ τοῦ εἰς τ. ὕ. χ.] 'Neminem facile (fere) vel mediocriter attendentem latere potest inserendum esse καὶ λυπηρὸν post ἡδύ, ut τὸ παραχρῆμα ἡδὺ καὶ λυπηρὸν cum ad τοῦ εἰς τὸν ὕστερον χρόνον καὶ ἡδέος καὶ λυπηροῦ, tum ad sequens ἡδονῇ καὶ λύπῃ respondeat. Ceterum tota hæc de voluptate et tristitia disputatio multo erit ad intelligendum facilior, si ipsi conferas egregium locum Rep. ix. p. 583. sqq.' Heusd. [p. 77.] De correctione magnopere dubito. Neque enim h. l. jucunda tantum jucundis aut molesta molestis, sed præcipue jucunda comparantur molestis. Ita si quis in hac comparatione discrimen esse in tempore præsenti futurove putet, cur non is dixerit, multum differre præsentem jucunditatem a futura non modo jucunditate, sed etiam molestia; qui voluptati succumbens mala eligat, quamvis mala esse sciat, cum præsentem tamen voluptatis fructum futuræ præferre molestiæ? Heind.

§. 113. καὶ αἱ φωναὶ ἴσαι] Imo αἱ φωναὶ αἱ ἴσαι, vel αἱ ἴσαι φωναί. Heind.

Εἰ οὖν ἐν τούτῳ[w] ἡμῖν ἦν τὸ εὖ πράττειν, ἐν τῷ τὰ[x] μὲν μεγάλα μήκη καὶ πράττειν καὶ λαμβάνειν, τὰ δὲ σμικρὰ καὶ φεύγειν καὶ μὴ πράττειν, τίς ἂν ἡμῖν σωτηρία ἐφάνη τοῦ βίου; ἆρα ἡ μετρητικὴ[y] τέχνη ἢ[z] ἡ[a] τοῦ φαινομένου δύναμις; ἡ[b] αὕτη[c] μὲν ἡμᾶς[d] ἐπλάνα καὶ ἐποίει ἄνω τε καὶ κάτω πολλάκις μεταλαμβάνειν[e] ταὐτὰ καὶ μεταμέλειν[f] καὶ ἐν ταῖς πράξεσι καὶ ἐν ταῖς αἱρέσεσι[g] τῶν μεγάλων τε καὶ σμικρῶν, ἡ δὲ μετρητικὴ ἄκυρον μὲν ἂν ἐποίησε τοῦτο τὸ φάντασμα, δηλώσασα[h] δὲ τὸ ἀληθὲς ἡσυχίαν ἂν ἐποίησεν ἔχειν τὴν ψυχὴν μένουσαν ἐπὶ τῷ ἀληθεῖ καὶ ἔσωσεν ἂν τὸν βίον; ἆρ'[i] ἂν ὁμολογοῖεν[j] οἱ[k] ἄνθρωποι πρὸς ταῦθ'[l] ἡμᾶς τὴν μετρητικὴν σώζειν ἂν[m] τέχνην, ἢ ἄλλην; [§. 114.] Τὴν μετρητικὴν ὡμολόγει. Τί δ', εἰ ἐν τῇ τοῦ[n] περιττοῦ καὶ ἀρτίου αἱρέσει ἡμῖν ἦν ἡ σωτηρία τοῦ βίου, ὁπότε τὸ πλέον ὀρθῶς ἔδει ἑλέσθαι καὶ ὁπότε τὸ ἔλαττον, ἢ αὐτὸ πρὸς ἑαυτὸ ἢ τὸ ἕτερον πρὸς τὸ ἕτερον, εἴτ' ἐγγὺς εἴτε πόρρω εἴη, τί ἂν ἔσωζεν ἡμῖν τὸν[o] βίον; ἆρ' ἂν οὐκ[p] ἐπιστήμη; καὶ ἆρ' ἂν

i. i. 238.

i. 357.

[v] δὲ ἐλάττους καὶ σμικρότεραι ϒ.—[w] οὖν post τούτῳ ponit Ξ.—[x] τὰ om ϱ.—[y] μετρικὴ ω.—[z] ἢ om omnes præter ϒΣ et rc ΓΣ.—[a] ἡ ἢ Ε.—[b] ἢ ἡ Θ.—[c] αὐτὴ CEϱ.—[d] μὲν ἂν ἡμᾶς rc Σ.—[e] λαμβάνειν ϱ.—[f] μεταμέλλειν ϒ.—[g] προαιρέσεσι ω.—[h] δηλώσας ϰΘ.—[i] ἆρ' om ϒ.—[j] ἀνομολογοῖεν ϒ.—[k] οἱ add ϒ et rc ΓΣ.—[l] ταῦθ' Γ.—[m] ἂν om ϒ.—[n] τοῦ om Ξ.—[o] τὸν...ἡμῖν om ω.—[p] οὐκ om ϰΘϒ.—[q] ἐπὶ δὲ δὴ ϒ et

εἰ οὖν ἐν τούτῳ—ἐν τῷ τ. μ. μ.] Valckenarium miror in Xenoph. Mem. S. iv. 7. 5. ubi leguntur hæc Τὸ δὲ μέχρι τούτου ἀστρονομίαν μανθάνειν μέχρι τοῦ καὶ τὰ μὴ ἐν τῇ αὐτῇ περιφορᾷ ὄντα—γνῶναι, illa μέχρι τούτου pro inutili interpolatione habentem. Apte Weiskius ibi opposuit Plat. de legg. ii. 670. D. μέχρι γε τοσούτου πεπαιδεῦσθαι σχεδὸν ἀναγκαῖον μέχρι τοῦ δυνατὸν εἶναι ξυνακολουθεῖν. Neque quidquam hoc genere frequentius. §. 118. αἱ ἐπὶ τούτου πράξεις ἅπασαι ἐπὶ τοῦ ἀλύπως ζῆν. de rep. i. p. 341. D. Οὐ καὶ ἡ τέχνη—ἐπὶ τούτῳ πέφυκεν ἐπὶ τῷ τὸ ξυμφέρον ἑκάστῳ ζητεῖν cet. Lach. p. 183. C. ἐκ τούτων οἱ ὀνομαστοὶ γίγνονται ἐκ τῶν ἐπιτηδευσάντων ἑκάστων et ibid. p. 191. B. καὶ αὐτὸν τὸν Αἰνείαν κατὰ τοῦτ' ἐνεκωμίασε κατὰ τὴν τοῦ φόβου ἐπιστήμην. Xenoph. Cyrop. iii. 1. 28. παρ' ἐκείνων, οἶμαι, ἔφη, (φιλίαν τοσαύτην λάβοιμι) παρὰ τῶν μηδεπώποτε πολεμίων γεγενημένων. Lysias Or. iii. p. 148. ὥστε οὐκ ἐξαρκεῖ περὶ τούτου μόνον αὐτῷ ψεύσασθαι περὶ τοῦ δεδωκέναι τὸ ἀργύριον. Heind.

ἄνω τε καὶ κάτω πολ. μεταλαμβάνειν] Locutionem ἄνω τε καὶ κάτω imprimis verbis addi ex vocula μετὰ compositis docuit Boeckh. in Præfat. ad Simonis Socratici diall. p. xix. Heind.

μετρητικὴν ὡμ.] Post μετρητικὴν videtur interpungendum: ut subaudiatur ex præcedentibus ὁμολογήσειν ἀνθρώπους τὴν μετρητικὴν σώζειν ἂν τέχνην, ὡμολόγει. Aut brevius, τὴν μετρητικὴν σώζειν ἂν τέχνην, ὡμολόγει. Eadem est et aliorum hujusmodi locorum ratio. Steph.

τὴν μετρητικὴν, ὡμολόγει] Sic distinxi, monente etiam Stephano. Totum enim hoc mente repetendum, ὁμολογεῖν ἂν ἀνθρώπους, ἡμᾶς σώζειν ἂν Τὴν μετρητικήν. Heind.

οὐ μετρητική τις, ἐπειδή περ ὑπερβολῆς τε καὶ ἐνδείας ἐστὶν ἡ τέχνη; ἐπειδὴ δὲ[q] περιττοῦ τε[r] καὶ ἀρτίου, ἆρ'[s] ἄλλη τις ἢ[t] ἀριθμητική;[u] ὁμολογοῖεν[v] ἂν ἡμῖν οἱ ἄνθρωποι. ἢ οὔ; Ἐδόκουν ἂν καὶ τῷ Πρωταγόρᾳ ὁμολογεῖν. Εἶεν, ὦ[w]
1. i. 239. ἄνθρωποι. ἐπειδὴ δὲ ἡδονῆς τε καὶ λύπης ἐν[x] ὀρθῇ τῇ[y] αἱρέσει ἐφάνη ἡμῖν ἡ σωτηρία τοῦ βίου οὖσα, τοῦ τε πλέονος καὶ ἐλάττονος καὶ μείζονος καὶ σμικροτέρου καὶ πορρωτέρω καὶ ἐγγυτέρω, ἆρα πρῶτον μὲν οὐ μετρητικὴ φαίνεται, ὑπερβολῆς τε καὶ ἐνδείας οὖσα καὶ ἰσότητος πρὸς ἀλλήλας σκέψις; Ἀλλ' ἀνάγκη. Ἐπεὶ δὲ[z] μετρητική, ἀνάγκη δή που τέχνη καὶ ἐπιστήμη. [§. 115.] Συμφήσουσιν.[a] Ἥ τις μὲν τοίνυν τέχνη καὶ ἐπιστήμη ἐστὶν αὕτη,[b] εἰσαῦθις σκεψόμεθα·[c] ὅτι δὲ ἐπιστήμη ἐστί, τοσοῦτον[d] ἐξαρκεῖ πρὸς τὴν ἀπόδειξιν, ἣν ἐμὲ δεῖ καὶ Πρωταγόραν ἀποδεῖξαι περὶ ὧν ἤρεσθ' ἡμᾶς. ἤρεσθε δέ, εἰ μέμνησθε, ἡνίκα ἡμεῖς ἀλλήλοις ὡμολογοῦμεν ἐπιστήμης μηδὲν εἶναι κρεῖττον, ἀλλὰ τοῦτο ἀεὶ κρατεῖν, ὅπου ἂν ἐνῇ, καὶ ἡδονῆς καὶ τῶν ἄλλων ἁπάντων· ὑμεῖς δὲ δὴ ἔφατε τὴν ἡδονὴν πολλάκις κρατεῖν καὶ τοῦ εἰδότος ἀνθρώπου, ἐπειδὴ δὲ ὑμῖν οὐχ ὡμολογοῦμεν,[e] μετὰ τοῦτο ἤρεσθ'[f] ἡμᾶς Ὦ Πρωταγόρα τε[g] καὶ Σώκρατες, εἰ μὴ ἔστι τοῦτο τὸ πάθημα ἡδονῆς ἡττᾶσθαι, ἀλλὰ[h] τί ποτ' ἐστὶ καὶ τί ὑμεῖς αὐτό φατε εἶναι; εἴπετε

corr Σ.—[r] τε om Γ.—[s] ἆρ' Γ.—[t] ἢ ϒ: om ceteri præter ws et rc Γ.—[u] ἀριθμητικῆ τ BC.—[v] ἀνομολογοῖεν ϒ.—[w] ὦ om BCErwγε.—[x] ἐν om ϒ.—[y] πῃ Β.—[z] ἐπειδὴ δὲ Σ.—[a] συμφήσουσιν...ἐπιστήμη om Γ.—[b] αὕτη corr Σ, ἡ αὐτὴ ΑΓΘΞBCErwγεϒ et pr Σ, αὐτὴ s.—[c] σκεψώμεθα ΓΗϒ.—[d] ἐστι τοῦτο τοσοῦτον Γ.—[e] ὁμολογοῦμεν ΑΘω et pr Γ, ὁμολογοῦμεν Β.—[f] ἤρεσθ' Γ.—[g] τε om Σ.—[h] ἄλλο Θ.—[i] ὑμῖν om Σ.—[j] κα-

§. 114. καὶ πορρωτέρω καὶ ἐγγυτέρω. Præfixo articulo Steph. conjecit καὶ τοῦ πορρωτέρω καὶ τοῦ ἐγγυτ. Quidni etiam καὶ τοῦ μείζονος καὶ τοῦ σμικροτέρου? In quibus semel et recte quidem omissus articulus non poterat in his postremis inferri denuo. HEIND.

§. 115. αὕτη] Ald. et Bas. 2. ἡ αὐτὴ, Steph. αὐτή. Nostrum, quod sententia requirit, expressit Ficinus: *Quæ vero potissimum hæc scientia sit.* HEIND.

ἤρεσθε δὲ, εἰ μέμνησθε, ἡνίκα cet.] *Interrogastis enim, si meministis, quum inter utrumque nostrum conveniret, scientia nihil esse superius, sed hanc semper superare, in quocunque inesset, et voluptatem et reliqua omnia, vos autem dicere tis, voluptatem sæpe vincere etiam hominem scientem, id igitur quum vobis non daremus, deinde interrogastis nos* etc. Hunc in modum hæc inter se continuantur. HEIND.

πάθημα ἡδονῆς] Vide annon scribendum sit, εἰ μὴ ἔστι τοῦτο πάθημα, τὸ ἡδονῆς ἡττᾶσθαι: sicut admonui et supr. p. 353. STEPH.

ἡμῖν. [§. 116.] Εἰ μὲν οὖν τότε εὐθὺς ὑμῖν[i] εἴπομεν ὅτι ἀμαθία, κατεγελᾶτε[j] ἂν ἡμῶν· νῦν δ' ἐὰν[k] ἡμῶν καταγελᾶτε, καὶ ὑμῶν αὐτῶν καταγελάσεσθε. καὶ γὰρ ὑμεῖς ὡμολογήκατε ἐπιστήμης ἐνδεία ἐξαμαρτάνειν περὶ τὴν τῶν I. i. 240. ἡδονῶν αἵρεσιν καὶ λυπῶν τοὺς ἐξαμαρτάνοντας· ταῦτα δέ ἐστιν ἀγαθά τε καὶ κακά. καὶ οὐ μόνον ἐπιστήμης, ἀλλὰ καὶ εἰς[l] τὸ πρόσθεν ἔτι ὡμολογήκατε ὅτι μετρητικῆς.[m] ἡ δὲ ἐξαμαρτανομένη πρᾶξις ἄνευ ἐπιστήμης ἴστε που καὶ αὐτοὶ ὅτι ἀμαθίᾳ πράττεται.[n] ὥστε τοῦτ' ἐστὶ τὸ ἡδονῆς ἥττω εἶναι,[o] ἀμαθία ἡ μεγίστη. ἧς Πρωταγόρας ὅδε φησὶν ἰατρὸς εἶναι καὶ Πρόδικος καὶ Ἱππίας· ὑμεῖς δὲ διὰ τὸ οἴεσθαι ἄλλο τι ἢ ἀμαθίαν εἶναι οὔτε αὐτοὶ οὔτε τοὺς ὑμετέρους παῖδας παρὰ τοὺς τούτων διδασκάλους τούσδε τοὺς σοφιστὰς πέμπετε, ὡς οὐ[p] διδακτοῦ ὄντος, ἀλλὰ κηδόμενοι τοῦ ἀργυρίου καὶ οὐ διδόντες[q] τούτοις κακῶς πράττετε καὶ ἰδίᾳ καὶ δημοσίᾳ.

§. 117. Ταῦτα μὲν τοῖς πολλοῖς ἀποκεκριμένοι ἂν ἦμεν. ὑμᾶς δὲ δὴ[r] μετὰ Πρωταγόρου ἐρωτῶ, Ἱππία τε I. 358. καὶ Πρόδικε—κοινὸς γὰρ δὴ ἔστω ὑμῖν[s] ὁ λόγος—, πότερον δοκῶ ὑμῖν ἀληθῆ λέγειν ἢ ψεύδεσθαι. Ὑπερφυῶς ἐδόκει ἅπασιν ἀληθῆ εἶναι τὰ εἰρημένα. Ὁμολογεῖτε ἄρα, ἦν δ' ἐγώ, τὸ μὲν ἡδὺ ἀγαθὸν εἶναι, τὸ δὲ ἀνιαρὸν κακόν. τὴν δὲ Προδίκου τοῦδε διαίρεσιν τῶν ὀνομάτων παραι- I. i. 241. τοῦμαι· εἴτε γὰρ ἡδὺ εἴτε τερπνὸν λέγεις εἴτε χαρτόν,[t] εἴτε ὁπόθεν καὶ[u] ὅπως χαίρεις τὰ τοιαῦτα ὀνομάζων, ὦ βέλτιστε Πρόδικε, τοῦτό μοι πρὸς ὃ βούλομαι ἀπόκριναι.

ταγελᾶτε Θε.—[k] δὲ ἂν plerique.—[l] ἧς ΑΓΘΞ, om r.—[m] μετρητικὴ Γ.—[n] πράττετε CE.—[o] εἶναι τὸ ἡδονῆς ἥττω Γ.—[p] οὐ om r.—[q] διδόντος E.—[r] καὶ r.—[s] ἡμῖν r.—

§. 116. ἐξαμαρτ. περὶ] *Peccare in voluptatum dolorumque electione, eos quidem qui peccant.* Nisi τοὺς legatur ante περὶ, non ante ἐξαμαρτ. STEPH.

οὔτε αὐτοὶ] Post αὐτοὶ vel deest verbum προσέρχεσθε aliudve ejusdem significationis, vel potius subaudiri debet ex seq. verbo πέμπετε. STEPH. Notabile ἀνακόλουθον sermonis, qui ita fere progressurus, οὔτε οἱ ὑμέτεροι παῖδες παρὰ—τοὺς σοφιστὰς προσέρχονται, sic statim post αὐτοὶ convertitur. HEIND.

§. 117. εἴτε γὰρ ἡδύ] Bas. 2. εἴτε καὶ ἡδύ. Trita est formula loquendi ὁπόθεν καὶ ὅπως χαίρεις ὀνομάζων, in qua ὁπόθεν ad illam πατρόθεν appellationem refertur. Cf. not. ad Phædr. §. 130. ubi quod ductam formulam ex precantium more dixi, id male conjeci ex adscriptis ibi e Cratylo verbis. HEIND.

τοῦτο ἀπόκριναι] H. l. est *hoc* (vocabulo) *utere in responsione tua*, ut dicas

[§. 118.] Γελάσας οὖν ὁ Πρόδικος συνωμολόγησε, καὶ οἱ ἄλλοι. Τί δὲ δή, ὦ ἄνδρες, ἔφην ἐγώ, τὸ τοιόνδε; αἱ ἐπὶ τούτου πράξεις ἅπασαι, ἐπὶ τοῦ ἀλύπως ζῆν καὶ ἡδέως, ἆρ' οὐ καλαί [καὶ ὠφέλιμοι;] καὶ τὸ καλὸν ἔργον ἀγαθόν τε καὶ ὠφέλιμον; Συνεδόκει. Εἰ ἄρα, ἔφην ἐγώ, τὸ ἡδὺ ἀγαθόν ἐστιν, οὐδεὶς οὔτε εἰδὼς οὔτε οἰόμενος ἄλλα βελτίω εἶναι ἢ ἃ ἐποίει καὶ δύναται, ἔπειτα ποιεῖ ταῦτα ἐξὸν τὰ βελτίω· οὐδὲ τὸ ἥττω εἶναι αὑτοῦ, ἄλλο τι τοῦτ' ἐστὶν ἢ ἀμαθία, οὐδὲ πρείττω ἑαυτοῦ ἄλλο τι[v] ἢ σοφία. Συνεδόκει πᾶσιν. Τί δὲ δή;[w] ἀμαθίαν ἆρα τὸ τοιόνδε λέγετε, τὸ ψευδῆ[x] ἔχειν δόξαν καὶ ἐψεῦσθαι περὶ τῶν πραγμάτων τῶν[y] πολλοῦ ἀξίων; Καὶ τοῦτο πᾶσι συνεδόκει. Ἄλλο τι οὖν,[z] ἔφην ἐγώ, ἐπί γε τὰ κακὰ οὐδεὶς ἑκὼν[a] ἔρχεται οὐδὲ[b] ἐπὶ ἃ οἴεται κακὰ εἶναι, οὐδ' ἔστι τοῦτο, ὡς ἔοικεν, ἐν ἀνθρώπου φύσει, ἐπὶ ἃ οἴεται κακὰ εἶναι ἐθέλειν[c] ἰέναι ἀντὶ τῶν ἀγαθῶν· ὅταν τε ἀναγκασθῇ δυοῖν κακοῖν τὸ
x. i. 242. ἕτερον αἱρεῖσθαι,[d] οὐδεὶς τὸ μεῖζον αἱρήσεται ἐξὸν τὸ ἔλαττον. [§. 119.] Ἅπαντα ταῦτα συνδοκεῖ[e] ἅπασιν ἡμῖν. Τί[f] οὖν; ἔφην ἐγώ, καλεῖτέ τι δέος καὶ φόβον; καὶ ἆρα ὅ

[t] χαρὰν ϒ.—[u] καὶ om ϒ.—[v] ἄλλο τι om ϒ.—[w] ἢ ϒ.—[x] ψευδεῖ Ξ.—[y] τοῦ Ες.—[z] οὖν om Σ.—[a] ἑκὼν om Σ.—[b] οὐδ' ϒ.—[c] ἐθέλει ϱ.—[d] αἱρεῖται ϒ.—[e] συνεδόκει (quod συν præstat) ϒ, ἐνδοκεῖ w.—[f] τι add Heindorfius.—[g] ὦ om ϒ.—[h] τοῦτο om Σ.—[i] δὲ

vel τὸ ἡδὺ εἶναι ἀγαθὸν, vel τὸ τερπνὸν εἶν. ἀγ. etc. HEIND.

§. 118. αἱ ἐπὶ τούτου πράξεις] An potius ἐπὶ τούτῳ? Xenoph. Cyrop. iv. 6. 6. οὐκ ἄν ποτε ἦλθον πρὸς σὲ ἐπὶ τῷ ἐκείνου κακῷ. vi. 3. 16. ἐπὶ γὰρ τῷ ἡμετέρῳ ἀγαθῷ καὶ ἐκινδύνευσε cet. Quanquam trita hæc est in significando proposito s. consilio præpositionis constructio. Genitivus hic si recte habet, ἐπὶ h. l. *motus* cujusdam significatu intelligendum, velut dicitur ἡ ἐπὶ Βαβυλῶνος ὁδὸς, ἐπὶ Λυδίας οἴχεσθαι, ἐπὶ Σάρδεων φεύγειν etc. Sunt igitur αἱ ἐπὶ τούτου πράξεις *actiones huc ducentes* s. *tendentes*. HEIND.

καλαὶ καὶ ὠφέλιμοι] Luce clarius est, quod jam monuit Schleierm. verba καὶ ὠφέλιμοι vitio nata esse ex seqq. καὶ ὠφέλιμον. Illis omissis, tum demum recte procedit argumentatio, αἱ ἐπὶ τούτου πράξεις—ἆρ' οὐ καλαὶ, καὶ τὸ καλὸν ἔργον ἀγαθόν τε καὶ ὠφέλιμον; Quanquam ante καλαὶ interpositum vellem καί. HEIND.

ἢ ἃ ποιεῖ καὶ δυνατὰ] Ita correxi. Edd. ἢ ἃ ἐποίει καὶ δύναται, vitiose utrumque. Ineptum enim h. l. tempus imperfectum, quum statim sequatur præsens ποιεῖ, ineptius etiam vel absonum prorsus istud δύναται, quod ex Schleiermacheri correctione mutatum in δυνατὰ sensum his unice aptum reddit. HEIND.

τῶν πολλοῦ ἀξ.] Sic Bas. 2. Reliquæ Edd. τοῦ πολλοῦ ἀξ. HEIND.

§. 119. συνεδόκει] Ita Bas. 2. Cum Aldo Stephanus edidit συνδοκεῖ.—In proximis, Τί οὖν, ἔφην ἐγὼ, καλεῖτε δέος cet. scribendum ego existimo, Τί οὖν; ἔφην ἐγώ· καλεῖτε τι δέος καὶ φόβον; καὶ ἆρα cet. Alioquin molestissime hoc καὶ ante ἆρα inculcatum sentiet unus-

περ ἐγώ; πρὸς σὲ λέγω, ὦ[g] Πρόδικε. προσδοκίαν τινὰ λέγω κακοῦ τοῦτο, εἴτε φόβον εἴτε δέος καλεῖτε. Ἐδόκει Πρωταγόρᾳ μὲν καὶ Ἱππίᾳ δέος τε καὶ φόβος εἶναι τοῦτο,[h] Προδίκῳ δὲ[i] δέος, φόβος δ' οὔ. Ἀλλ' οὐδέν, ἔφην[j] ἐγώ, ὦ[k] Πρόδικε, διαφέρει·[l] ἀλλὰ τόδε. εἰ ἀληθῆ τὰ ἔμπροσθέν ἐστιν, ἆρά τις ἀνθρώπων ἐθελήσει ἐπὶ ταῦτα ἰέναι ἃ δέδοικεν, ἐξὸν ἐπὶ ἃ μή; ἢ ἀδύνατον ἐκ τῶν ὡμολογημένων; ἃ γὰρ δέδοικεν, ὡμολόγηται ἡγεῖσθαι κακὰ εἶναι· ἃ δὲ ἡγεῖται κακά, οὐδένα οὔτε ἰέναι ἐπὶ ταῦτα οὔτε λαμβάνειν ἑκόντα. Ἐδόκει καὶ ταῦτα πᾶσιν. [§. 120.] Οὕτω δὴ τούτων ὑποκειμένων, ἦν δ' ἐγώ, ὦ[m] Πρόδικέ τε καὶ Ἱππία, ἀπολογείσθω ἡμῖν Πρωταγόρας ὅδε, ἃ τὸ πρῶτον ἀπεκρίνατο, πῶς ὀρθῶς ἔχει, μὴ ἃ τὸ πρῶτον παντάπασι· τότε μὲν γὰρ δὴ πέντε ὄντων μορίων τῆς ἀρετῆς οὐδὲν ἔφη εἶναι[n] τὸ ἕτερον οἷον τὸ ἕτερον, ἰδίαν δὲ[o] αὐτοῦ ἕκαστον ἔχειν δύναμιν· ἀλλ' οὐ ταῦτα λέγω, ἀλλ' ἃ[p] τὸ ὕστερον[q] εἶπε. τὸ γὰρ ὕστερον ἔφη τὰ μὲν τέτταρα ἐπιεικῶς παραπλήσια ἀλλήλοις εἶναι,[r] τὸ δὲ ἓν πάνυ πολὺ[s] διαφέρειν τῶν ἄλλων, τὴν ἀνδρίαν.[t] γνώσεσθαι[u] δέ μ' ἔφη τεκμηρίῳ τῷδε. εὑρήσεις γάρ, ὦ Σώκρατες, ἀνθρώπους ἀνοσιωτάτους μὲν ὄντας καὶ ἀδικωτάτους καὶ ἀπολαστοτάτους καὶ ἀμαθεστάτους, ἀνδρειοτάτους δέ·[v] ᾧ γνώσει ὅτι πολὺ διαφέρει ἡ ἀνδρία τῶν ἄλλων μορίων τῆς ἀρετῆς. καὶ ἐγὼ εὐθὺς τότε πάνυ ἐθαύμασα τὴν ἀπόκρισιν, καὶ ἔτι μᾶλλον ἐπειδὴ ταῦτα μεθ' ὑμῶν διεξῆλθον. ἠρόμην δ'[w] οὖν[x] τοῦτον εἰ τοὺς ἀνδρείους λέγοι[y] θαῤῥαλέους. ὁ[z] δὲ Καὶ ἵτας γ', ἔφη.

I. 359.

I. i. 243.

om Θ.—[j] ἔφη C.—[k] ὦ ego addidi.—[l] διαφέρειν E.—[m] ὦ add rc Σ.—[n] εἶναι om Θ.—[o] τοῦ r.—[p] ἃ ΑΘ: ὃ *s.—[q] δὴ ὕστερον r.—[r] εἶναι om Γ.—[s] πολὺ add ΑΘr.—[t] ἀνδρίαν er: ἀνδρείαν s.—[u] γνώσεσθε Α.—[v] δέ om BCErwy et pr Σ.—[w] δ' om yr.—[x] οὖν om Γ.—[y] λέγει ΞEers.—[z] οἱ E.—[a] τίνα Θ, τί^να Α: τί *s.—[b] Οὐκ...δειλοὶ

quisque. Parenthesin autem hæc facerent, ὅπερ ἐγὼ πρὸς σὲ λέγω, ni denuo deinde inferretur λέγω; nunc sic explenda oratio: καὶ ἆρα καλεῖτε τοῦτο ὅπερ ἐγὼ πρὸς σὲ λέγω.—πρὸς σέ. Conf. not. ad §. 67. Heind.

§. 120. μὴ ἃ τοπρῶτον παντάπ.] V. §. 51. Heind.

αὐτοῦ ἕκαστ.] Vulgo αὐτοῦ, quod in αὐτῶν mutandum conjecit Steph. Heind.

τὸ γὰρ ὕστερον ἔφη] V. §. 96.—ἀνδρίαν et deinde ἀνδρία hic, ut ubique ante, Ald. et Bass. pro ἀνδρείαν et ἀνδρεία, quam formam invexit Steph.—ἠρόμην δ' οὖν τοῦτον εἰ λέγει. Vid. quæ scripsi ad §. 30. 2. Heind.

[§. 121.] Μέμνησαι, ἦν δ' ἐγώ, ὦ Πρωταγόρα, ταῦτα ἀποκρινόμενος; Ὡμολόγει. Ἴθι δή, ἔφην ἐγώ, εἰπὲ ἡμῖν, ἐπὶ τίνα[a] λέγεις ἴτας εἶναι τοὺς ἀνδρείους; ἢ ἐφ' ἃ περ οἱ δειλοί; Οὐκ[b] ἔφη. Οὐκοῦν ἐφ' ἕτερα. Ναί, ἦ δ' ὅς. Πότερον οἱ μὲν δειλοὶ ἐπὶ τὰ θαῤῥαλέα ἔρχονται, οἱ δὲ ἀνδρεῖοι ἐπὶ τὰ δεινά;[c] Λέγεται δή,[d] ὦ Σώκρατες, οὕτως ὑπὸ τῶν ἀνθρώπων. Ἀληθῆ, ἔφην ἐγώ, λέγεις· ἀλλ'[e] οὐ τοῦτ'[f] ἐρωτῶ, ἀλλὰ σὺ ἐπὶ τί φὴς ἴτας εἶναι τοὺς ἀνδρείους; ἆρ' ἐπὶ τὰ δεινά, ἡγουμένους δεινὰ εἶναι, ἢ ἐπὶ τὰ μή; Ἀλλὰ τοῦτό γ', ἔφη, ἐν οἷς σὺ ἔλεγες τοῖς λόγοις ἀπεδείχθη ἄρτι ὅτι ἀδύνατον. Καὶ τοῦτο, ἔφην ἐγώ,
1. i. 244. ἀληθὲς λέγεις.[g] ὥστ' εἰ τοῦτο ὀρθῶς[h] ἀπεδείχθη, ἐπὶ μὲν ἃ δεινὰ ἡγεῖται εἶναι οὐδεὶς ἔρχεται, ἐπειδὴ τὸ ἧττω εἶναι ἑαυτοῦ εὑρέθη ἀμαθία[i] οὖσα. Ὡμολόγει. Ἀλλὰ μὴν ἐπὶ ἃ γε θαῤῥοῦσι πάντες αὖ ἔρχονται, καὶ δειλοὶ καὶ ἀνδρεῖοι, καὶ ταύτῃ[j] γε ἐπὶ τὰ αὐτὰ ἔρχονται οἵ δειλοί τε καὶ οἱ ἀνδρεῖοι.[k] [§. 122.] Ἀλλὰ μέντοι, ἔφη, ὦ Σώ-

νά

om w.—[c] δειλά ΑΓΞBCrwyε, δειλά E.—[d] δὲ ε.—[e] ἀλλ' rwyεϒ.—[f] τοῦτ' Γ.—[g] λέγω ϒ.—[h] ὀρθῶς...τὸ om w.—[i] εὑρέθη ἡ ἀμαθία Θ.—[j] καὶ ταύτῃ 369, 2. ἀνδρεῖοι om w.—

§. 121. ἦ ἐφ' ἅπερ οἱ δειλοί;] Scripsi ἦ pro ἢ, quod vix aptum h. l. quum non sit per se liquidum, quæ sint illa, ἐφ' ἅπερ ἴται οἱ δειλοί. Heind.

ἀλλὰ τοῦτό γ', ἔφη, ἐν οἷς σὺ ἔλεγες] Supra enim §. 118. sq. demonstratum, neminem scientem lubentemque ire ad ea quæ mala putet; timorem autem mali futuri expectationem esse; itaque neminem ire velle ad ea quæ timeat seu mala fore sibi opinetur. Non igitur fortes ad τὰ δεινὰ, *metuenda*, ibunt δεινὰ ea esse putantes. Referuntur autem hæc, Ἀλλὰ τοῦτό γ', ἔφη—ἀδύνατον, ut sæpe fit in his dialogis, ad priorem hanc interrogationis partem ἆρ' ἐπὶ τὰ δεινὰ ἡγουμένους δεινὰ εἶναι; Heind.

ἐπειδὴ τὸ ἧττω εἶν. ἑ. ε. ἀ. ο.] V. §. 116. Nimirum si qui sunt qui iræ aliisve cupiditatibus indulgentes suique ἥττονες ferantur ad τὰ δεινὰ, ut sunt, eos illuc ἀμαθία quædam perducit, quum δεινὰ esse illa ignorent, certe, quantum sibi mali immineat, non exputent. Aliter qui additamenti hujus vim et sensum explicem, non video. Heind.

ἀμαθία οὖσα] Ita frequenti nec tamen constanti sermonis usu participium hoc prægresso proxime nomini accommodari solet. de rep. i. extr. ὁπότε γὰρ τὸ δίκαιον μὴ οἶδα ὅ ἐστι, σχολῇ εἴσομαι εἴτε ἀρετή τις οὖσα τυγχάνει εἴτε καὶ οὔ. iii. p. 392. D. ἆρ' οὐ πάντα ὅσα ὑπὸ μυθολόγων ἢ ποιητῶν λέγεται, διήγησις οὖσα τυγχάνει cet. iv. p. 420. C. οἱ γὰρ ὀφθαλμοὶ, κάλλιστον ὄν, οὐκ ὀστρείῳ ἐναληλιμμένοι εἶεν. Xenoph. Cyrop. vi. 1. 10. ὡς οὖν τὰ μὲν οἴκοι στρατείαν οὖσαν, τάδε δὲ ἑορτὴν, ἐμοὶ μὲν οὐ δοκεῖ —διαλύειν τήνδε τὴν πανήγυριν. Conf. not. ad Hipp. Maj. §. 43. Contra mox h. l. §. 125. νῦν δ' εἰ φανήσεται (ἡ ἀρετὴ) ἐπιστήμη ὂν etc. Heind.

οἱ δειλοί τε καὶ ἄνανδροι] Facillimum in his, quæ corrupta sunt manifesto, cum Cornario reponere οἱ δειλοί τε καὶ ἀνδρεῖοι, idque confirmare videtur Ficini versio: *atque hac ratione eadem et timidi et fortes aggrediuntur;* ut vulgatam scripturam repetitio primæ in voc. ἀνδρεῖοι syllabæ pepererit. Nam quod Schleiermacherus meus conjecit, οἱ ἀν-

κρατες, πᾶν γε τοὐναντίον ἐστὶν ἐπὶ ἃ οἵ τε[l] δειλοὶ[m] ἔρχονται καὶ οἱ ἀνδρεῖοι.[n] αὐτίκα εἰς τὸν πόλεμον οἱ μὲν ἐθέλουσιν ἰέναι, οἱ δὲ οὐκ ἐθέλουσιν. Πότερον, ἔφην ἐγώ, καλὸν ὂν ἰέναι ἢ αἰσχρόν; Καλόν, ἔφη. Οὐκοῦν εἴ περ καλόν, καὶ ἀγαθὸν ὡμολογήσαμεν ἐν[o] τοῖς ἔμπροσθεν· τὰς γὰρ καλὰς πράξεις ἁπάσας[p] ἀγαθὰς ὡμολογήσαμεν. Ἀληθῆ λέγεις, καὶ ἀεὶ ἔμοιγε[q] δοκεῖ οὕτως. Ὀρθῶς γε,[r] ἔφην ἐγώ. ἀλλὰ ποτέρους φὴς εἰς[s] τὸν πόλεμον οὐκ ἐθέλειν ἰέναι, καλὸν ὂν καὶ ἀγαθόν; Τοὺς δειλούς, ἦ δ' ὅς. Οὐκοῦν, ἦν δ' ἐγώ, εἴ περ καλὸν καὶ ἀγαθόν, καὶ ἡδύ; Ὡμολόγηται γοῦν, ἔφη. Ἆρ' οὖν γιγνώσκοντες οἱ δειλοὶ οὐκ ἐθέλουσιν ἰέναι ἐπὶ τὸ κάλλιόν[t] τε καὶ ἄμεινον καὶ ἥδιον; Ἀλλὰ καὶ[u] τοῦτο ἐὰν ὁμολογῶμεν, ἔφη, διαφθεροῦμεν[v] τὰς ἔμπροσθεν ὁμολογίας. [§. 123.] Τί δ' ὁ ἀνδρεῖος; οὐκ ἐπὶ τὸ κάλλιόν τε καὶ ἄμεινον καὶ ἥδιον ἔρχεται; Ἀνάγκη, ἔφη, ὁμολογεῖν. Οὐκοῦν ὅλως οἱ ἀνδρεῖοι οὐκ αἰσχροὺς φόβους[w] φοβοῦνται, ὅταν φοβῶνται, οὐδὲ αἰσχρὰ θάρρη θαρροῦσιν. Ἀληθῆ,[x] ἔφη. Εἰ δὲ μὴ αἰσχρά, ἆρ' οὐ καλά; Ὡμολόγει. Εἰ δὲ καλά, κἀγαθά;[y] Ναί. Οὐκοῦν καὶ οἱ δειλοὶ καὶ οἱ θρασεῖς[z] καὶ οἱ μαινόμενοι τοὐναντίον αἰσχρούς τε[a] φόβους φοβοῦνται καὶ αἰσχρὰ θάρρη θαρροῦσιν. Ὡμολόγει. Θαρροῦσι δὲ τὰ αἰσχρὰ καὶ κακὰ[b] δι' ἄλλο τι ἢ δι' ἄγνοιαν καὶ ἀμαθίαν; Οὕτως ἔχει, ἔφη. Τί οὖν; τοῦτο δι' ὃ δειλοί εἰσιν οἱ δειλοί, δει-

I. 360.

I. i. 245.

[k] οἱ ἀνδρεῖοι Α et corr Σ, ἀνδρεῖοι Γ, οἱ ἄνανδροι Θϒ: ἄνανδροι *Σ.—[l] γε Σ, om Γ.—[m] ἀνδρεῖοι corr Σ.—[n] οὐ καὶ οἱ δειλοὶ corr Σ.—[o] ἐν...ὁμολογήσαμεν om Σ.—[p] ἁπάσας om Θ.—[q] ἐμοὶ αἰεὶ ϒ.—[r] γ' w.—[s] ποτέρους φήσεις Α.—[t] καλόν mei omnes.—[u] καὶ ante τοῦτο om Cy.—[v] διαφεροῦμεν Α.—[w] φόβους om pr Σ.—[x] ἀληθῆ...θαρροῦσι in mg rc E.—[y] κἀγαθά Γ.—[z] θαρσεῖς Α.—[a] γε Σ.—[b] τὰ κακὰ καὶ αἰσχρὰ ϒ.

δρεῖοί τε καὶ ἄνανδροι, in eo vereor ne quid affectatæ elegantiæ hæc habeat sermonis variatio, καὶ δειλοὶ καὶ ἀνδρεῖοι, — οἱ ἀνδρεῖοί τε καὶ ἄνανδροι, hoc quidem loco, ubi tam crebra τῶν δειλῶν et τῶν ἀνδρείων tanquam oppositorum inter se mentio. HEIND.

§. 122. αὐτίκα] H. l. sonat *exempli gratia, verbi causa,* ut sæpe sermonis initio. Vid. Ruhnken. ad Tim. Lex. p. 56. qui plura tamen ibi e Platone commiscuit, in quibus longe alia vocabuli potestas.—Paullo inferius in his, ἐπὶ τὸ κάλλιόν τε καὶ ἀμ. καὶ ἥδ. Ald. et Bass. καλὸν pro κάλλιον, suffragante Ficino: *Numquid scientes timidi ad id quod pulchrum, melius et jucundius est, proficisci nolunt?* Quanquam is etiam in proximis, ubi Edd. omnes habent κάλλιον, vertit *pulchrum.* In re manifesta Stephanum sequendum putavi. HEIND.

§. 123. αἰσχρούς γε] Imo αἰσχρούς τε φ. HEIND.

λίαν ἢ ἀνδρίαν καλεῖς; Δειλίαν ἔγωγ', ἔφη. Δειλοὶ δὲ οὐ[c] διὰ τὴν τῶν δεινῶν[d] ἀμαθίαν ἐφάνησαν ὄντες; Καὶ[e] πάνυ γ', ἔφη. Διὰ ταύτην ἄρα τὴν ἀμαθίαν δειλοί εἰσιν. Ὡμολόγει.[f] Δι' ὃ δὲ δειλοί εἰσι, δειλία ὁμολογεῖται παρὰ σοῦ; Συνέφη. Οὐκοῦν ἡ τῶν δεινῶν[d] καὶ μὴ δεινῶν ἀμαθία δειλία ἂν εἴη; Ἐπένευσεν. Ἀλλὰ μήν, ἦν δ' ἐγώ, ἐναντίον ἀνδρία δειλίᾳ.[g] Ἔφη. Οὐκοῦν ἡ[h] τῶν δεινῶν[d] καὶ μὴ δεινῶν[d] σοφία ἐναντία τῇ τούτων[i] ἀμαθίᾳ ἐστίν; Καὶ ἐνταῦθα ἔτι ἐπένευσεν. Ἡ δὲ τούτων ἀμαθία δειλία; Πάνυ μόγις ἐνταῦθα[j] ἐπένευσεν. Ἡ σοφία ἄρα τῶν δεινῶν[k] καὶ μὴ δεινῶν[l] ἀνδρία ἐστίν, ἐναντία οὖσα τῇ
r. i. 246. τούτων ἀμαθίᾳ. [§. 124.] Οὐκέτι ἐνταῦθ' οὔτ' ἐπινεῦσαι ἠθέλησεν ἐσίγα τε. Καὶ ἐγὼ εἶπον Τί δή, ὦ Πρωταγόρα, οὔτε σὺ φῂς[m] ἃ ἐρωτῶ οὔτε ἀπόφῃς;[n] Αὐτός, ἔφη, πέρανον. Ἓν γ', ἔφην ἐγώ, μόνον ἐρόμενος ἔτι σε, εἰ σοι ὥς περ τὸ πρῶτον ἔτι δοκοῦσιν εἶναί τινες ἄνθρωποι ἀμαθέστατοι μέν, ἀνδρειότατοι δέ. Φιλονεικεῖν μοι, ἔφη,[o] δοκεῖς, ὦ Σώκρατες, τὸ ἐμὲ εἶναι τὸν ἀποκρινόμενον. χαριοῦμαι[p] οὖν σοι, καὶ λέγω ὅτι[q] ἐκ τῶν ὡμολογημένων ἀδύνατόν μοι δοκεῖ εἶναι. Οὔ τοι, ἦν δ' ἐγώ, ἄλλου[r] ἕνεκα ἐρωτῶ πάντα ταῦτα ἢ σκέψασθαι βουλόμενος πῶς ποτ' ἔχει τὰ περὶ τῆς ἀρετῆς καὶ τί ποτ' ἐστὶν αὐτὸ[s] ἡ ἀρετή. οἶδα γὰρ ὅτι τούτου φανεροῦ
r. i. 361. γενομένου μάλιστ'[t] ἂν κατάδηλον γένοιτ'[u] ἐκεῖνο, περὶ οὗ ἐγώ τε καὶ σὺ μακρὸν λόγον ἑκάτερος[w] ἀπετείναμεν, ἐγὼ μὲν λέγων ὡς οὐ διδακτὸν ἀρετή, σὺ δ' ὡς διδακτόν. [§. 125.] Καί μοι δοκεῖ ἡμῶν ἡ ἄρτι ἔξοδος τῶν λόγων ὥς περ ἄνθρωπος κατηγορεῖν τε καὶ καταγελᾶν, καὶ εἰ

—[c] οὐ om r.—[d] δειλῶν omnes præter rc Σ.—[e] καὶ om ΑΓΘ —[f] ὡμολογεῖτο s.—[g] ἀνδρίᾳ δειλία C.—[h] εἰ ἡ rc Σ.—[i] ἀμαθία δειλία, ἡ δειλία ἄρα Σ.—[j] ἐνταῦθ' Γ.—[k] δειλῶν ΑΓΘΞΣ.—[l] καὶ μὴ δεινῶν om r.—[m] σύμφῃς corr Σ.—[n] ἀποφῆς rwe, ἀποφὴς yr.—[o] ἔφη ΑΘr: ἔτι *s.—[p] χωριοῦμαι r.—[q] ὅτι om Γ.—[r] ἀλλ' οὗ rwyer.—[s] αὐτὴ r, om r.—[t] μάλιστ' Γwe.—[u] γένοιτ' Γ.—[w] ἑκάτερος μακρὸν λόγον r, μακρὸν

ὡμολογεῖτο] Bas. 2. ὡμολόγηται. Aptum utrumque. Heind.

§. 124. φιλονεικεῖν μοι ἔτι δοκεῖς—τὸ ἐμὲ εἶναι τὸν ἀποκρινόμενον] De Rep. i. p. 338. προσεποιεῖτο δὲ φιλονεικεῖν πρὸς τὸ ἐμὲ εἶναι τὸν ἀποκρινόμενον. Simplici accusativo, uti h. l. constructum verbum Thucyd. v. 111.—δυθείσης αἱρέσεως πολέμου πέρι καὶ ἀσφαλείας μὴ τὰ χείρω φιλονεικῆσαι, *cum studio quodam deteriora sequi*. Heind.

φωνὴν λάβοι, εἰπεῖν ἂν ὅτι Ἄτοποί γ' ἐστέ, ὦ Σώκρατές τε[x] καὶ Πρωταγόρα. σὺ μὲν λέγων ὅτι οὐ διδακτόν ἐστιν ἀρετὴ[y] ἐν τοῖς ἔμπροσθε,[z] νῦν σεαυτῷ τἀναντία σπεύδεις, ἐπιχειρῶν ἀποδεῖξαι ὡς πάντα[a] χρήματα ἐστὶν ἐπιστήμη, καὶ ἡ δικαιοσύνη καὶ ἡ σωφροσύνη[a] καὶ ἡ ἀνδρία, ᾧ τρόπῳ μάλιστ' ἂν διδακτὸν φανείη ἡ ἀρετή. εἰ μὲν γὰρ ἄλλο τι ἦν ἢ ἐπιστήμη ἡ[b] ἀρετή, ὥς περ Πρωταγόρας ἐπεχείρει λέγειν, σαφῶς οὐκ ἂν ἦν διδακτόν· νῦν δὲ εἰ φανήσεται ἐπιστήμη ὄν,[c] ὡς σὺ σπεύδεις, ὦ Σώκρατες, θαυμάσιον ἔσται μὴ διδακτὸν ὄν. Πρωταγόρας δ' αὖ διδακτὸν τότε ὑποθέμενος,[d] νῦν τοὐναντίον ἔοικε σπεύδοντι ὀλίγου πάντα μᾶλλον φανῆναι αὐτὸ ἢ ἐπιστήμην·[e] καὶ οὕτως ἂν ἥκιστα εἴη διδακτόν. [§. 126.] Ἐγὼ οὖν, ὦ Πρωταγόρα, πάντα ταῦτα καθορῶν ἄνω κάτω ταραττόμενα δεινῶς, πᾶσαν προθυμίαν ἔχω καταφανῆ αὐτὰ γενέσθαι, καὶ βουλοίμην ἂν ταῦτα διεξελθόντας ἡμᾶς ἐξελθεῖν ἐπὶ[f] τὴν ἀρετὴν ὅ τι ἔστι, καὶ πάλιν ἐπισκέψασθαι περὶ αὐτοῦ, εἴτε διδακτὸν εἴτε μὴ διδακτόν, μὴ πολλάκις ἡμᾶς ὁ Ἐπιμηθεὺς ἐκεῖνος καὶ ἐν τῇ σκέψει σφήλῃ ἐξαπατήσας, ὥς περ καὶ ἐν τῇ διανομῇ ἠμέλησεν ἡμῶν, ὡς φῂς σύ.[g] ἤρεσεν οὖν μοι καὶ ἐν τῷ μύθῳ ὁ Προμηθεὺς μᾶλλον τοῦ Ἐπιμηθέως· ᾧ χρώμενος ἐγώ, καὶ προμηθούμενος ὑπὲρ[h] τοῦ βίου τοῦ ἐμαυτοῦ παν- I. i. 247.

λόγον ἑκάτεροι ω.—[x] τε om r.—[y] ἐστιν ἀρετὴ ΑΘγ: ἐστιν ἡ ἀρετὴ *s.—[z] ἔμπροσθε C: ἔμπροσθεν *s.—[a] πάντα om Γ.—[a] ἡ ante σωφροσύνη solus habet, cum s, Γ.—[b] ἢ ἡ E.—[c] ὅλον mei omnes.—[d] ὑποτιθέμενος r.—[e] ἐπιστήμην ΑΓΞΣBCryωεr: ἐπιστήμη *s.—[f] ἐξελθεῖν ἐπὶ Θ: ἐξελθεῖν καὶ ἐπὶ *s.—[g] σὺ φῄς er.—[h] ὑπὸ ry.—

§. 125. ἡ ἐπιστήμη ἢ ἀρ.] Lego ἄλλό τι ἦν ἢ ἐπιστήμη ἡ ἀρετή. id est, *Siquid aliud esset Virtus quam scientia, perspicuum esset illam doceri non posse: at nunc si Virtus comperiatur esse scientia, mirum fuerit illam doceri non posse.* Steph.

ἐπιστήμη ὄν] Ex vet. Cod. lego ἐπιστήμη ἄλλό τι οὖσα. idcirco deest in mea interpretatione *aliud*, et vitiose lectionis vestigia apparent, ὃ ὡς σύ: quæ verba propter viciniam vocis ἄλλό τι a librario facile fuerunt commutata. Serran.

Vulgo, perverso sensu, ἡ ἐπιστήμη ἢ ἀρετή, quod tamen et Ficinus expressit: *si enim aliud quiddam esset scientia quam virtus.* Veram scripturam dubitanter, quod miror, in margine, proposuit Stephanus. Heind.

ἐπιστήμη ὅλον] Bas. 2. atque paullo post eadem Ed. Πρωτ. δ' αὖ διδακτὸν ὂν τότε ὑποθ. Unde rescribendum διδακτὸν ὂν τότε. Heind.

ἐπιστήμην] Ita Bas. 2. Vitiose cum Ald. Steph. ἐπιστήμη. Heind.

§. 126. μὴ πολλάκις] *Ne forte* etc. V. not. ad Phædon. §. 11.—ὥσπερ καὶ ἐν τῇ διανομῇ ἡμ. V. §. 32.—ὅπερ καὶ κατ' ἀρχὰς ἔλ. V. §. 19. 94. Heind.

τός, πάντα ταῦτα πραγματεύομαι, καὶ εἰ σὺ[i] ἐθέλοις,[j] ὅ περ[k] καὶ[l] κατ' ἀρχὰς ἔλεγον, μετὰ σοῦ ἂν ἥδιστα ταῦτα συνδιασκοποίην.[m] Καὶ ὁ Πρωταγόρας, Ἐγὼ μέν, ἔφη, ὦ
r. i. 248. Σώκρατες, ἐπαινῶ σου τὴν προθυμίαν καὶ τὴν διέξοδον τῶν λόγων. καὶ γὰρ οὔτε τἆλλα οἶμαι κακὸς εἶναι ἄνθρωπος,[n] φθονερός τε ἥκιστ' ἀνθρώπων,[o] ἐπεὶ καὶ περὶ σοῦ πρὸς πολλοὺς δὴ εἴρηκα, ὅτι ὧν ἐντυγχάνω πολὺ μάλιστα ἄγαμαι σέ, τῶν μὲν[p] τηλικούτων καὶ πάνυ· καὶ λέγω γε ὅτι οὐκ ἂν θαυμάζοιμι, εἰ τῶν ἐλλογίμων γένοιο ἀνδρῶν ἐπὶ σοφίᾳ. καὶ περὶ τούτων δὲ εἰσαῦθις, ὅταν βούλῃ, διέξιμεν·[q] νῦν
r. 362. δ' ὥρα[r] ἤδη[s] καὶ ἐπ' ἄλλο τι τρέπεσθαι. Ἀλλ', ἦν δ' ἐγώ, οὕτω χρὴ ποιεῖν, εἴ σοι δοκεῖ. καὶ γὰρ ἐμοὶ οἷ περ ἔφην ἰέναι πάλαι[t] ὥρα, ἀλλὰ Καλλίᾳ τῷ καλῷ χαριζόμενος παρέμεινα.

Ταῦτ' εἰπόντες καὶ ἀκούσαντες ἀπῆμεν.[u]

[i] εἴ σοι.—[j] θέλεις Γ.—[k] ὥσπερ ϒ.—[l] καὶ om ε.—[m] διασκοποίην ϒ et pr Ξ.—[n] κακὸς οἶμαι ἄνθρωπος εἶναι ϒ.—[o] ἥκιστ' ἂν ἀνθρώπων Ες.—[p] μὲν ΑΓΞΣΒΕrwεϒ: μὴν *s.—[q] διέξειμεν ΑΓΞΒCErw, διέξειμι ϒ.—[r] ἔρα ε.—[s] ἤδη om ΣΒCErwγε.—[t] πάλιν ϒ.—[u] ἀπῄϊμεν Α.

οἷπερ ἔφην ἰέναι] V. §. 64. extr. Heind.

Καλλίᾳ τῷ καλῷ] Notatis de hac τοῦ καλοῦ appellatione ad Hipp. Maj. §. 1. adde Schol. ad Aristoph. Vesp. §. 98. ἐπέγραφον οἱ Ἀθηναῖοι τὰ τῶν καλῶν ὀνόματα οὕτως· ὁ δεῖνα καλός. ἔγραφον δὲ καὶ ἐν τοίχοις καὶ ἐν θύραις καὶ ὅπου τύχῃ. Conf. Bergler. ad Aristoph. Acharn. 144. Kuster. ad Suid. v. Καλοί. Heind.

FINIS VOL. I.

BINDING LIST NOV 1

8020

Plato
Platonis et quae vel Platonis esse feruntur vel Platonica solent comitari scripta Graece omnia, ed. by Bekker.
Vol. 1

LGr
P718Be

BORROWER

University of Toronto
Library

DO NOT
REMOVE
THE
CARD
FROM
THIS
POCKET

Acme Library Card Pocket
LOWE-MARTIN CO. LIMITED